

ΝΕΑΜΟΝΗΣΙΑ.


3014

ΤΑ

ΜΕΝΑΙΩΝΙΑ.

ΔΥΟ ΒΙΒΛΙΑ,

Ὧν τὸ μὲν ά. ἐκδοθὲν τῷ 1804 ὑπὸ τοῦ ἱεροδιδασκάλου Νικηφόρου, τὸ δὲ β'. συνταχθὲν ὑπὸ τοῦ Καθηγουμένου Γρηγορίου Φωτεινοῦ, συνεξεδόθη μετὰ τοῦ ά. διορθωθέντος ὑπὸ τοῦ αὐτοῦ.



ΕΝ ΧΙΩ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Κ. Μ. ΠΡΟΚΙΔΟΥ.

1865.

Τὸν ἑαυτοῦ αὐτῶν ἐξαγγελεῖ Ἐκκλησία.
(Σιρὰχ μδ'. 15).

ΕΙΔΟΠΟΙΗΣΙΣ

ΤΗΣ ΠΑΡΟΥΣΗΣ ΕΚΔΟΣΕΩΣ.

Νικηφόρος ὁ Χῖος ἱεροδιδάσκαλος ἐξέδωκεν ἐν Βενετίᾳ τῷ 1804 ἱερὰν ἀκολουθίαν τοῖς ὁσίοις πατράσιν ἡμῶν Νικήτᾳ, Ἰωάννῃ καὶ Ἰωσὴφ, οἵτινες ἐν τῷ τοῦ Προβατίου σπηλαίῳ ἐβίουν ὁσίως, ἐκεῖθεν δὲ θείᾳ τινὶ νεύσει καὶ τὴν θείαν εἰκόνα εὗρον τῆς Δεσποίνης ἡμῶν Θεοτόκου ἐπὶ μυρσίνης, καὶ τὴν Νεαμονὴν ἐκ βάθρων ἐδομήσαντο ἐν μέσῃ τῇ Χίῳ, ἀδραῖς δαπάναις τοῦ Βυζαντινοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ Μονομάχου· ἣ προσέθετο καὶ τὴν τῶν εἰρημένων Ὁσίων βιογραφίαν, καὶ ἱστορίαν τῆς Νεαμονῆς, καὶ περιγραφὴν τοῦ θείου ναοῦ, καὶ θαύματά τινα τῆς Νεαμονήτιδος Θεοτόκου παράδοξως ἐκτελεσθέντα. Ἀλλ' ἐπειδὴ τὸ βιβλίον ἐξέλιπεν πρὸ πολλοῦ, συναισθανόμενοι τὴν ἀνάγκην νέας ἐκδόσεως, καί τοι τὸ πολυδάπανον τοῦ ἔργου, καὶ τὸ δύσκολον τῆς ἐπιχειρήσεως, δειλιῶντες, ἠλείφθημεν πρὸς τὸν ἀγῶνα, ἐν ταῖς πρὸς Θεὸν λιταῖς τῶν Ὁσίων καὶ τῆς προστάτιδος ἡμῶν Θεοτόκου θαῤῥοῦντες. Οὕτως οὖν ἐνισχυθέντες τῇ γνώμῃ, τὸν βίον τοῦ συγγραφέως Νικηφόρου ἐν τῇ ἀρχῇ τῆς βίβλου προσθέντες, εἰς τὰ πρόσω οὐ πολλὰς προσθήκας ἐποιησάμεθα, εἰμὴ τέσσαρα στιχηρὰ ἐν τῷ μεγάλῳ ἑσπερινῷ, καὶ τοὺς ἐθιζομένους τῶν στίχων μεταξὺ τοῦ ὑπομνήματος καὶ τοῦ οἴκου, ἐλλείποντας. Μετεποιησάμεθα δὲ προτροπῇ ἐμμούσων τινῶν ἐπὶ τὸ εὐηχότερον καὶ τὸ κοντάκιον, καὶ ἀπολυτίκιον, προσθέντες καὶ δεύτερον εἰς δ'. ἦχον. Καὶ ταῦτα μὲν ὡς πρὸς τὴν

ἀσμαπικὴν ἀκολουθίαν. Ἐπειδὴ δὲ καὶ πρόλογοι, καὶ βιογραφίαι, καὶ θαύματα, καὶ ἱστορούμενα τῆς Μονῆς, καὶ περιγραφαὶ τοῦ ναοῦ ἦσαν γεγραμμένα, εἰς ὕφος μὴ ἀρέσκον τὴν σήμερον, προτροπῇ τοῦ Σεβασμιωτάτου ἡμῶν ἱεράρχου Κυρίου Γρηγορίου, τοῦ Βυζαντίου, μετηνέχθησαν εἰς τὸ ὕφος, ὃ παρὰ τοῖς λογίοις ἐθίζεται σήμερον, τὸ σεμνότερον δ' ἐθηρεύσαμεν, ὡς ἐπὶ τοῖς ἐκκλησιαστικοῖς μᾶλλον ἐμπρέπον. Ἀλλ' ἐπειδὴ βαδίζομεν ὁσημέραι, μὴ φθάσαντες ὅμως ἔτι, ἐπὶ τὰ κρείττω τῆς γραφομένης γλώσσης, πολλὰ διαφεύγουσι ἡμῖν εἰς τὸ γράφειν, ὅτι ἡ πρὸς τοῦτο τρίβος ἀστάθμητός ἐστι καὶ ἀνώμαλος ἔτι. Ἐτολμήσαμεν ὅμως ἐν τούτοις καὶ πολλὰς γραμματικὰς διορθώσεις, προσθέντες εἰς τὰ θαυμάσια τῆς Θεοτόκου καὶ δύο νεώτερα, τὸ τῆς εὑρέσεως τῆς παλαιᾶς ἁγίας εἰκόνος, καὶ τὸ διὰ τῆς Θεοτόκου ὑγιᾶ φυλαχθῆναι τὸν κατὰ κρημνοῦ πεσόντα Μιχαὴλ τὸν Φραγκάκην. Ὅλον δὲ τὸ β'. βιβλίον συνεθέμεθα, ἵνα πᾶσι ποιήσωμεν γνωριμώτερα τὰ τὴν Μονὴν ἀφορῶντα, καὶ τὰς κτήσεις αὐτῆς καὶ τὴν ἱστορίαν αὐτῆς, ἀσχάλοντες, ὅτι οὐδὲν εὕρομεν τῶν χρυσοβούλλων ἢ τῶν σιγγιλίων τῶν παλαιῶν, ἢ τῶν χειρογράφων ἐκείνων τῶν ἐν μεμβράναις, ἐξ ὧν ἔβριθεν ἡ Μονή. Ἀλλὰ τὶ μάτην θρηνοῦμεν διὰ τὰ μηκέτι σωζόμενα. Ἵλεως ἡμῖν εἴη ὁ Θεὸς ἁμαρτάνουσιν, ἵνα μὴ, πρὸς ἃ πεπόνθαμεν, καὶ αὖθις ἕτερα πάθωμεν. Ἐν τῷ δευτέρῳ τοίνυν βιβλίῳ ἐπεχειρήσαμεν συνάψασθαι τὸν μίτον τῆς Νεαμονικῆς ἱστορίας, ὁπόθεν ἐξέκοψεν αὐτὸν ὁ ἱερὸς Νικηφόρος. Διελάβομεν οὖν τινα τῶν ὑπ' ἐκείνου παραλειφθέντων, καὶ ἐξαιρέτως, ἃ κέκτηται ἡ μονὴ, ὁπόσα, ὁποῖα, ὁπόθεν, ἐν τίσι τόποις, ἐξακριβώσαντες ταῦτα ὅσον δυνάμεως καὶ γνώσεως εἴχομεν πρὸς αὐτά· ἐπειδὴ ὁ Νικηφόρος οὐδὲν περὶ τούτων ἐφρόντισεν, ὡς ἀγαπῶν ἀείποτε τὰ πνευματικά, περὶ ὧν εἰργάσατο μόνον, ὡς ἐπουσιώδη παριδὼν τὰ μὴ πρὸς τὸ πνευματικὸν ἀφορῶντα. Ἐν τούτοις οὖν ἀσχοληθέντες κυρίως, ἐξιστορήσαμεν ἐν συνόψει καὶ τὰ δεινὰ, ἅπερ ὑπέστη ἐπὶ Μαμωνίδων

ἡ μονὴ, πλαγίως δέ πως καὶ τὰ ἐν τῇ ἁλώσει τοῦ 1822 καὶ 1827—8, ὑποδηλώσαντες, ὅτι πολλὰ ἐτραυματίσθη τότε ἡ μονὴ, καὶ πολλὰ τῶν τραυμάτων τούτων τὰ μέν εἰσι δυσίατα, τὰ δ' ὅλως ἀνιάτρευτα δι' αὐτήν. Κατεδείξαμεν δὲ καὶ τίνι τρόπῳ ἐκυβερνᾶτο, ἐξότου ἐγένετο ἰδιόρρυθμος, ἐμπεριγράψαντες συλλήβδην τὰ ἑαυτῆς κτήματα, ὁρίσαντες τὰς περιοχὰς αὐτῶν, καὶ τὰς ὀργυιὰς τῶν ἡμέρων ὡς ἔγγιστα ἐξαριθμήσαντες, ὅπως εὐδηλον γένηται, ὅτι μηδὲ τὸ χιλιοστὸν τῆς ἡμέρου Χίας γῆς κέκτηται ἡ μονὴ, τῆς ἀγρίας ἐξαιρουμένης· καὶ ἵνα μὴ στομφάζωσί τινες τοῦ λοιποῦ ματαιότερόν τε ἢ δυσμενέστερον, ὅτι τὸ τρίτον τῆς Χίου νέμεται ἡ Νεαμονὴ, ὑποθετικά τε καὶ ἀναπόδεικτα φάσκοντες. Οὐ παρίδωμεν δὲ οὐδὲ τὰς βουνώδεις ταύτης καὶ δοσκησίμους, ἀλλὰ σὺν τῇ περιοχῇ τῆς μονῆς διεγράψαμεν καὶ ὁρίσαμεν καὶ ταύτας ὡς οἷόν τε, οὐ μόνον διὰ μαρτυριῶν ἀδιστάκτων, ἀλλὰ διὰ παλαιοχωδήκων μᾶλλον, οὓς ἐξέβρασεν ἡμῖν ἡ ἁλμυρὰ θάλασσα τοῦ τρομεροῦ κλύδωνος τῷ 1822. Ἐν αὐτῷ διηγούμεθα τὰ πάντα πάντοτε ἐν συνόψει καὶ τὰς δυσκολίας, ἃς ἀπήντησεν ἡ μονὴ, ἀναλαμβάνουσα τὰ ἑαυτῆς, ὁπότε ταύτη τε καὶ τοῖς ἄλλοις Χίοις ὁ Βασιλεὺς ἀμνησικακῶν ἐδωρήσατο τὰ κεκτημένα, ἅπερ ἐν τῷ πολέμῳ ἀπώλεσαν· καὶ ὅτι ἐν τοῖς κτήμασι τῆς Μονῆς ἐζήτουν οἱ καλλιεργηταὶ δικαιώματα, ἀλλαγὴν συστήματος, σφετερισμούς, καὶ ἄλλα, ὁπόσα ἐν σελίδι 276 ἐπαριθμεῖ ὁ Πατριάρχης συνοδικῶς, ἀποτρέπων τε καὶ ἐπιτιμῶν τοὺς καταπατοῦντας τὰ δίκαια καὶ προνόμια τῆς μονῆς, καὶ βλάπτοντας αὐτὴν ὁπωσδήποτε. Διεδηλώσαμεν οὖν, ὅτι πολλάκις διὰ ταῦτα δεινῶς ἐπολέμησε τὴν μονὴν ἡ πλεονέκτις ἰδιοτέλεια, καὶ πολλὰ πολλαχοῦ ἐγκατέκρυψεν ἱεροσύλως Νεαμονήσια κτήματα, καὶ ὅτι κατ' ἐξαίρεσιν ἐν τῷ Δαφνῶνι ὑπερέβη πᾶν μέτρον καὶ ὅριον, ἔνθα ἱστορικώτερον διηγούμεθα, ὅτι συνεχῶς ἐκπλέοντες πρὸς τὴν τῶν ἀπολολώτων ἀνάκτησιν, πολλοῖς προσεκρούομεν σκοπέλοις, καὶ ὥσπερ

εἰς ἄξενόν τινα πόντον ἐναυαγοῦμεν, καὶ τὸ ζῆν πολλάκις ἐκινδυνεύομεν· ἤδη δὲ καὶ τὸν φανὸν πρὸς τὸ στόμα τοῦ λιμένος ἀνάψαντες, καὶ εἰσχωρήσαντες εἰς τὸ μέσον τούτου πλησίστιοι, αἰσθανόμεθα, ὅτι κατεσθίει τὰ τῆς ἀγκύρας καλώδια ἡμῖν ἀδηφάγος ἰδιωφέλεια, ἣν δαμάσειεν ἡ δικαιοσύνη καὶ ἡ ἀλήθεια, ὁ τῇ τοῦ Θεοῦ βοηθείᾳ πεποίθαμεν! Μετὰ δὲ ταῦτα καθορῶντες τὸν χρόνον, ὅτι καταβροχθίζει ἀπαύστως καὶ ἃ κατέλιπεν ἡμῖν παλαιόγραφα, ὥσπερ τὰ οἰκεῖα τέκνα ὁ μυθολογούμενος Κρόνος, τὴν διὰ τῆς τυπογραφίας σωτηρίαν αὐτῶν ἐμηχανησάμεθα, οὐκ ἄχρηστον ἱστορικὴν ὕλην τῇ τε μονῇ καὶ τῇ νήσῳ ἐπισυναγαγόντες ἀνέκδοτον, ἐξ ἧς πολλαὶ Χῖαι γίνονται καταφανεῖς ἐπωνυμίαι, καὶ σωζόμεναι ἔτι καὶ ἐκλιποῦσαι, καὶ πολλὰ ἱστορικὰ γεγονότα καὶ πρόσωπα μέχρι τοῦδε ἄγνωστα καὶ ἀνέκδοτα, ἐν οἷς ἔτι προσμαρτυρεῖται καὶ τίνι τρόπῳ ἐγένοντο ὑπὸ τὴν μονὴν αἱ πολλαὶ τῶν οἰκείων αὐτῆς κτήσεων, αἱ σωζόμεναι σήμερον. Οὐ μόνος δ' ὁ χρόνος, ἀλλὰ καὶ ἡ ὀλιγωρία, καὶ ἡ ἀπρονοησία, τὰ διασωθέντα τῶν παλαιογράφων κατέστησαν δυσεπίβατα ὅλως, καὶ ἀμύθητος ἡμῖν ὁ πόνος πρὸς ταῦτα, διά τε τὸ δυσανάγνωστον φύσει καὶ σεσηπὸς καὶ λελωβημένον, ἐν πολλοῖς δὲ καὶ τὸ ἀδαὲς καὶ ἀδέξιον. Ἐξεδώκαμεν δὲ μετὰ ταῦτα καί τινα τῶν νεογράφων, παλαιόγραφα μὲν τὰ πρὸ τῆς Χίας ἁλώσεως, νεόγραφα δὲ τὰ μετ' αὐτὴν ὀνομάσαντες, ἐν οἷς προεταξάμεθα διὰ τὴν ἀπώλειαν τῶν παλαιῶν πατριαρχικῶν σιγγιλίων, ὃ ἐπὶ τῇ βάσει ἐκείνων ἐκτησάμεθα τῷ 1832, μεθ' ὃ καὶ τὸ προμνησθὲν ἐπιτίμιον, καὶ τὰς μεταφράσεις τριῶν βασιλικῶν φιρμανίων προσεθέμεθα ἐν ὀλίγοις, καὶ παραλειπόμενά τινα τοῦ πρώτου βιβλίου, μεθ' ἃ καὶ τοὺς ἐπισημοτέρους ἐβιογραφήσαμεν τῶν Νεαμονησίων, καὶ τοὺς βασιλεῖς Κωνσταντῖνον, Ζωὴν καὶ Θεοδώραν, τοὺς κτίτορας τῆς μονῆς, συγκαταχωρήσαντες καὶ τὰ Χῖα χωρία, ὅπως δείξωμεν ἐν τίνι ἔχει, καὶ ἐν τίνι οὐκ ἔχει κτήματα ἡ μονή. Ἵνα δὲ μὴ δόξωμεν τοῖς ἀνθρώποις ἀντὶ

χρυσοῦ ἀπέφθου χαλκὸν εὐτελῆ διανέμειν, καὶ τὰς δεούσας ἐπὶ τούτοις πᾶσιν ἐχαράξαμεν μαρτυρίας πρὸς τὸ ἀκιβδήλον, καθάπερ ἐπισήμῳ σφραγίδι ταύταις χρησάμενοι. Πεπόνθαμεν δ' οἷα πάσχουσιν ἀτυχεῖς γεηπόνοι, μικροῦ καὶ λυπροῦ λαχόντες, καὶ πετρώδους χωρίου, ὁπόθεν ἱδρῶσι καὶ καμάτοις πολλοῖς, ὀλίγους καθάπερ ἡμεῖς, ἐπισυνάγουσι τοὺς καρπούς· τῶν γὰρ ἐκ ταύτης τῆς ἀρούρας καρπῶν τὸ πλέον καὶ κάλλιον ἐταμιεύσατο ἡμῖν ὁ ἱερὸς Νικηφόρος· ἡμεῖς δὲ τὰ κεχερσωμένα ἐκγεωργήσαντες τῆς δὲ ἐν μακροῖς ἀγῶσι, βραχέα τινὰ ἐπὶ τῶν καρπῶν τοῦ Νικηφόρου προστίθεμεν σκολυμάτια, ὥσπερ ἀρτύματα· ἃ δέξασθ' εὐμενεῖς, καὶ διὰ τὰ ἐν αὐτοῖς ἀπαντώμενα λάθη ἢ ἐκ παραδρομῆς ἢ ἐξ ἀγνοίας, σύγγνωτε, ὅτι ἀλάνθαστον τυγχάνει καὶ πανδαῆμον μόνον τὸ θεῖον, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τῷ 1864. Ἐν Νεαμονῇ,

Ὁ Καθηγούμενος αὐτῆς
ΓΡΗΓΟΡΙΟΣ ΦΩΤΕΙΝΟΣ.

ΒΙΟΣ

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΝΕΑΜΟΝΗΣΙΟΥ.

Νικηφόρος, ὁ τῆς βίβλου ταύτης πατήρ, Χῖος ὢν τὴν πατρίδα κατήγετο ἐκ τῆς περιβοήτου κώμης τῶν Καρδαμύλων, τὴν γενεὰν Γεώργος. Ἐγγραφεὶς δ' ἐκ παίδων εἰς τὴν Νεαμονικὴν ἀδελφότητα ὑπετάγη ἔκτοτε εἰς τὸν Σεβάσμιον Ἄνθιμον τὸν Ἁγιοπατερίτην, τὸν ἐκ Διδύμας τῆς ἔσω. Μετὰ ταῦτα μετέβη εἰς τὴν ὑποταγὴν τοῦ ἱερατεύοντος Ἰωσὴφ ἐν τῷ κατὰ τὴν πόλιν Χίου Νεαμονικῷ Ναῷ τοῦ Ἁγίου Εὐστρατίου, ὁπόθεν φοιτῶν ἐξεπαιδεύθη εἰς τὰ κοινὰ σχολεῖα τῆς πόλεως, ἐν οἷς καὶ πολλὰ ἔτη ἔπειτα ὑποδιδάσκαλος διετέλεσε. Μετὰ δὲ τὴν διὰ τὰς Μαμωνίδας (α) Νεαμονικὴν δυστυχίαν ὑπελήφθη ὑπὸ τῆς Χίας ἀριστοκρατίας, ὡς ὁ μᾶλλον πεπολιτισμένος τῶν Νεαμονησίων, ὁ μᾶλλον πεπαιδευμένος, καὶ κατὰ συνέπειαν ὁ μᾶλλον κατάλληλος, ἵνα ἡγουμενεύσῃ εἰς τὴν Νεαμονὴν, ὅπως φέρῃ καὶ ἴασίν τινα εἰς τὰς τότε πληγὰς αὐτῆς. Ἀλλ' ὁ ἀγαθὸς Νικηφόρος ἀπεῖχε μακρότατα τῆς ἰδέας ταύτης, ἀλλοίαν ὅλως βαδίζων ὁδόν· διότι καὶ ἐν τῇ πόλει ἔζη ὡς ἐν ἐρήμοις, ἔρημος πάσης ἕξεως καὶ κοινωνίας πολιτικῆς, ξένος καὶ ἀήθης τοῦ κυβερνᾶν, πλὴν παιδαρίων μαθητευόντων. Διὰ ταῦτα καὶ ἡγουμενεύσας ἀπέτυχε τοῦ σκοποῦ, μὴ ἰσχύσας νὰ διατρέξῃ μέχρι τέλους τὸ διετὲς στάδιον τῆς ἡγουμενείας, ἀλλὰ ἐκ-

(α) Βλας. Ἱστορ. Χ. φ. 151.

ρίψας τὰ ὅπλα λειποτακτεῖ εἰς τὰ Ῥευστὰ ἀνεπιστρεπτεί, φυγομαχήσας ὡς ἄπειρος καὶ ἔναλκις στρατηγὸς, ἀγαπήσας μᾶλλον τὸν λιμένα τοῦ ἡσυχίου βίου ὡς ἐπιβάτης, παρὰ τὴν πολυτάραχον θάλασσαν ὡς κυβερνήτης ἐπιδέξιος πλοίου· ἀμηχανῶν διακρατεῖν χειρὶ στιβαρᾷ καὶ ἐν τρικυμίαις τὸν οἴακα πλεούσης νηός. Ὁ ἄνθρωπος ὡς φαίνεται, οὐκ ἦν κεκλημένος φύσει ἢ ἕξει εἰς τὰ τοιαῦτα· ἀλλ' ὡς γνώριμος καὶ ζηλωτὴς τοῦ Ἁγίου Μακαρίου τοῦ Νοταρᾶ, ὡς μαθητὴς καὶ μιμητὴς καὶ ὀπαδὸς τοῦ φιλοχρίστου διδασκάλου Ἀθανασίου τοῦ Παρίου, καὶ τῶν τοιούτων ὁμόζηλος, ἠγάπα οἴκοθεν καὶ κατησπάζετο τὸν ἀσκητισμὸν, καὶ πρὸς αὐτὸν ἐφ' ὅλου τοῦ βίου ἀπέβλεπεν.

Τί μάτην ζητοῦμεν πολλάκις παρά τινων πράγματα, ἐν οἷς οὐδεμίαν ἢ μικρὰν ἔχουσι δεξιότητα; Τί λησμονοῦμεν, ὅτι οὐχ ἅπαντες ἔχουσιν εἰς ἅπαντα δεξιῶς, ὡς συμβαίνει καὶ ἐπὶ τῶν ἀλόγων καὶ τῶν ἀψύχων; Ἐπειδὴ καὶ τῶν ξύλων τὰ μέν εἰσι δεξιὰ πρὸς γλυφὴν, τὰ δὲ πρὸς στέγασιν, τὰ δὲ πρὸς ναυπηγίαν, τὰ δὲ πρὸς ἄλλα· καὶ τῶν ἀλόγων τὰ μέν εἰσι δεξιὰ πρὸς φορτίων μεταφορὰν, τὰ δὲ πρὸς ἀροτρίασιν, τὰ δὲ πρὸς ἄλλα ὁμοίως.

Οὕτω γοῦν καὶ ὁ ἱερὸς Νικηφόρος πρὸς τὴν ἄσκησιν ἐκ παίδων ἐξησκημένος καὶ ταύτην προτιμῶν πάντοτε, ὕστερα πάντα τἆλλα ἐλογίζετο καὶ ἐφρόνει, καταφρονῶν ὡς μάταια καὶ πρόσκαιρα τὰ ἐγκόσμια, μικρὰ φροντίζων περὶ τῆς τούτων τοιάσδε ἢ τοιάσδε φορᾶς. Διὰ ταῦτα καὶ ἐν ἀγρυπνίαις καὶ νηστείαις καὶ δέησεσιν ἐσχόλαζε πάντοτε, καὶ ὕμνους καὶ κανόνας εἰς Ἁγίους συνέγραφε, καὶ ἐν ἐκκλησίαις ἐδίδασκεν· ἀλλ' ἐξαιρέτως εἰς τὰς τῶν κωμῶν καὶ χωρίων, βιῶν βίον λιτὸν καὶ ἀπράγμονα· οὐδ' ἀγρὸν, οὐδ' ὑποζύγιον ἴδιον κεκτημένος· ἀλλὰ τὴν ἀκτημοσύνην ὅλως ζηλῶν ὁ ἀοίδιμος. Ὅθεν καὶ τῶν Νεαμονικῶν κτημάτων ἀπαλλοτριουμένων τῆς Μονῆς διὰ πωλήσεως, πρὸς ἀπότισιν τῆς διὰ τὰς Μαμωνίδας μεγάλης ζημίας, ὀλιγώρως εἶχεν, ἡγουμενεύων, μὴ φειδόμενος ἐγ-

κοσμίων κτημάτων· ἀλλὰ περὶ τῶν μελλόντων μόνων φροντίζων, ἐδίδασκε τοὺς Νεαμωνησίους καθ' ἡμέραν, ὠθῶν πρὸς τὴν ἄσκησιν Ὁ σκοπὸς ἦν ἐπαινετὸς καὶ θεάρεστος, ἀλλ' ὁ ζῆλος ἐκρίνετο ἄκαιρος. Πῶς; Ἐπειδὴ κατὰ μικρὸν ἔφασκον ἀναβαίνει ὁ ἄνθρωπος εἰς τὰ ὑψηλὰ, ἐγγυμναζόμενος εἰς τὴν ἀνάβασιν βαθμηδὸν ἐκ νεότητος. Πῶς οὖν ἀσχάλεις, ἱερὲ Νικηφόρε, ὁρῶν τὰ ὑποζύγια ἔξω τῆς αὐλακος σύροντα τὸ ἄροτρον παρὰ τὸ δοκοῦν, ἐπιλαθόμενος, ὅτι ζευγηλατεῖς δι' ἀδαμάστων, καὶ ῥίψας τὸ βούκεντρον καταλιμπάνεις τὴν ἐχέτλην καὶ τὸν ἀγρὸν ἀγεώργητον, καὶ καταφεύγεις εἰς τὰ Ῥευστά;

Ὅθεν ἀδικαιολόγητος ἡ φυγή· καθότι ἢ ἔφυγεν ἀποκαμὼν διὰ τὰ προσκόμματα ἐν τῇ κινήσει τῆς κυβερνητικῆς μηχανῆς, ἢ ἑτέραν Νέαν Μονὴν ἠβούλετο συστῆσαι· ἀλλὰ καὶ τὰ δύο ταῦτα κρίνονται ἀποκυήματα νυσταλέου νοός· ἐπειδὴ μηδὲ Μονὴν μόνιμον εἶχε τὰ μέσα, ἵνα καταστήσῃ, μηδὲ συνεπὴς εἰς τὰ ἐντεταλμένα, ἐφαίνετο, ἅπερ καὶ αὐτὸς ἐδίδασκεν ἄλλως, φάσκοντα, ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ ἡμεῖς μὲν πνευματικῶς ἀνακρίνομεν τὰ πεπραγμένα, σφόδρα σεβόμενοι τὴν μνήμην τοῦ ἀειμνήστου ἀνδρός· εἰσὶν ὅμως καὶ ἄλλοι ἄλλως αὐτὸν ἀνακρίνοντες· ὥς' ἐτόλμησαν εἰπεῖν, ὅτι τύφος ὡδήγησε τὸν Νικηφόρον εἰς τὰ Ῥευστὰ, ἵνα γένηται δῆθεν κτίτωρ Μονῆς, καὶ εἰς τοὺς ἐπιόντας ὄνομα τοιοῦτον ἐγκαταλίπῃ· ἀλλ' αἱ τοιαῦται Μοναὶ, ὡς ὀλίγου εὐμοιροῦσαι πάντως ἐλαίου, ὀλίγον ἀναλάμπουσι καὶ ἐπὶ τῆς λυχνίας τοῦ Κόσμου. Κεῖνται δὲ τὰ Ῥευστὰ ἀρκτικώτερον τῆς πόλεως, οὐ μακρὰν τῆσδε, ὑπὸ τὰς ὑπωρείας ὀρέων δυσβάτων, μεταξὺ Βροντάδων καὶ Καρυῶν, θέσις ἐρημική τε καὶ εὔυδρος, ἔνθα διεβίωσε καὶ Ἀθανάσιος ὁ Πάριος, παραιτηθεὶς ἐκ γήρατος τῆς Χιακῆς σχολαρχίας. Αὐτόθι συμβιοὺς, ἀπεβίωσε καὶ ὁ ἱερὸς Νικηφόρος πρὸ τῶν Χίων δεινῶν, θείου τυχὼν ὄντως ἐλέους, ἵνα μὴ ἴδῃ, ὧν ἐν τοῖς ζῶσι, τὸν τῆς αὐτοῦ πατρίδος παγγενῆ ὄλεθρον κατὰ τὸ 1822.

Ἐνταῦθα περὶ τὸ 1845 τῶν Μοναζόντων τις ἡσυχάζων, σκάψας ἐξήγαγεν ὀστέα ἀνθρώπινα ἐκ τῆς γῆς· ταῦτα ἐξεκήρυξεν ὡς τὰ τοῦ ἱεροῦ Νικηφόρου, ἁγιότητος μέτοχα, προθυμούμενος, ἵνα καὶ τοῦτον ἐγκατατάξῃ εἰς τὸν χορὸν τῶν Ὁσίων, θεία κελεύσει, ὡς ἔλεγε. Μὴ εἰδὼς ἐγὼ τὸ ἀληθὲς τῆς προθέσεως οὐδόλως κατηγορῶ τοῦ ἀνδρὸς, ὥσπερ ἄλλοι τινὲς, σκοποὺς πλεονεξίας ἀποδιδόντες τῷ ἀνθρώπῳ, ἐργαστήριον τεκταίνοντι δῆθεν ἱερὸν, ὑλικοῦ κέρδους ἕνεκεν.

Ταῦτα δὲ γνοὺς ὁ εὐκλεῶς τότε τὸν ἱεραρχικὸν οἴακα τῆς Χίας κατέχων νηὸς, ὁ τανῦν πανδήμως κληθεὶς ἀπὸ τοῦ ἱεροῦ θρόνου τῆς Ἀμασείας ἐπὶ τὸν οἰκουμενικὸν θρόνον τοῦ θείου Γρηγορίου καὶ Χρυσοστόμου, ὡς ὑπέρτατος κυβερνήτης τῆς Ἐκκλησίας τῶν Ὀρθοδόξων, Σωφρόνιος ὁ Βυζάντιος, μετεπέμψατο εἰς τὴν Μητρόπολιν τὰ ὀστᾶ πρὸς δοκιμασίαν, καὶ πρὸς ἐξάλειψιν πάσης ἀθεμιτουργοῦ ἀγυρτείας, ἔνθα διαμένουσιν ἔτι ἐν κιβωτῷ, διασαλπίσας, ὅτι κατὰ τὸ ἔθος τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἅγια λογισθήσονται, ἐὰν θεόθεν μαρτυρηθῶσι θείοις τε καὶ ὑπερφυέσι σημείοις καὶ θαύμασι, δι' ὧν « θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ διαδείκνυται. Ποίησον οὖν Χριστὲ ὁ Θεὸς ἡμῶν, ὡς πάντα εἰδὼς καὶ πάντ' ἐπιστάμενος, καὶ πάντα κρίνων εὐθέως, κατὰ τὸ σὸν πανάγιον θέλημα, διασώζων ταῖς λιταῖς τῆς Παναγίας Μητρός σου, καὶ τὴν σὴν Νεαμονήτιδα ποίμνην ἀσινῆ καὶ ἀλώβητον, πάσης ζάλης ῥυόμενος, καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΝΙΚΗΦΟΡΟΣ

Τοῖς ἐν Χριστῷ ἀδελφοῖς τὴν μετ' εὐλαβείας προσκύνησιν, καὶ τὸν ἐν Χριστῷ ἀσπασμόν.

Ἡ νῆσος Χίος ἦν καὶ ἔστι πάντοτε λαμπρὰ καὶ ἐπίσημος, διὰ τὰ καλὰ, δι' ὧν ἀνέκαθεν τυγχάνει καταπεπλουτισμένη. Ἡ πολύγλωσσος φήμη κηρύττει αὐτὴν πανταχοῦ, ὡς τοιαύτην. Διόπερ καὶ τῶν σοφῶν τις εἶπε περὶ αὐτῆς, ὅτι οὐκ ἔστιν ἁπλῶς καλὴ, ἀλλὰ συνδρομὴ οὐκ εὐαρίθμων καλῶν. Αὔτηγοῦν ἐπαινεῖται καὶ δι' ἄλλα πολλῶν ἐπαίνων ἄξια, ἐπαινεῖται δὲ καὶ κατασταστέφεται ἐγκωμίων ἄνθεσιν ἐξαιρέτων καὶ διὰ τὰ πνευματικὰ, καὶ θεῖα αὐτῆς καλὰ μᾶλλον. Ταύτην, ἐκτὸς τῶν ἄλλων θείων αὐχημάτων, καὶ αἵματα μαρτυρικὰ παλαιῶν καὶ νέων ἱερῶν ἀθλητῶν ἁγιάζουσιν, ὡς εὔδηλον πᾶσι, καὶ ἀγῶνες ἀσκητικοὶ Ὁσίων λαμπρύνουσιν. Τοιούτους δ' ἀναφέρω ἐκ μὲν τῶν παλαιῶν τὸν ἔνδοξον μάρτυρα Ἰσίδωρον, τὴν αὐτῷ συναθλήσασαν Μυρόπην, καὶ τὴν θαυματουργὸν Μαρκέλλαν, τὴν ἐκ τῆς παλαιφάτου κώμης Βολισσοῦ, τὴν ὑπὲρ σωφροσύνης σφαγιασθεῖσαν. Ἐκ δὲ τῶν νέων τὸν Θεῷ φίλον Θεόφιλον, τὸν Ζακύνθιον, τοὺς φερωνύμους τῆς πρὸς Βελίαρ νίκης. Νικήταν, τὸν Νισύριον καὶ Νικόλαον τὸν Χῖον, Μανουὴλ τὸν Κρῆτα, καὶ τὸν θαυματουργὸν Μάρκον τὸν Σμυρναῖον.

Τί δὲ ἡ Ὁσία Ματρώνα; οὐκ ἐλάμπρυνε καὶ αὕτη, καὶ

εἰς πλεῖστα μέρη τοῦ Κόσμου ἐξήπλωσε τὸ τῆς Χίου ὄνομα διὰ τῆς αὐτῆς ἁγιότητος, καὶ τῆς χάριτος τῶν αὐτῆς ἀπείρων θαυμάτων; Ἄλλοι ὅμως καὶ πρὸ τῆς θαυμασίου ταύτης Ὁσίας διέλαμψαν εἰς τὴν ἄσκησιν, καὶ ταῖς ἐνθέων ἀρετῶν ἱεραῖς ἀκτῖσι τὴν νῆσον Χίον ἐφώτισαν, κατακαλλύναντες καὶ καταφαιδρύναντες αἰσθητῶς τε καὶ νοητῶς κατορθώμασι τηλαυγέσι.

Τίνες οὗτοι; «Οἱ εὐλαβεῖς οὗτοι καὶ θαυμάσιοι Μονα-
» σταὶ, ὡς ὀνομάζει τούτους καὶ ὁ ἐν Βασιλεῦσιν ἀείμνη-
» στος Κωνσταντῖνος ὁ Δούκας, οἱ σύμψυχοι καὶ ὁμότρο-
» ποι καὶ τὴν ψυχὴν ὁμαίμονες,» ἡ τρισάριθμος χορεία τῶν Ὁσίων καὶ Θεοφόρων πατέρων ἡμῶν, Νικήτας, Ἰωάννης καὶ Ἰωσήφ. Οἱ τρισμακάριστοι καὶ θειότατοι, καὶ τὰ θεῖα σοφώτατοι οὗτοι, ἀποφυγόντες τὸ σκότος τῆς κοσμικῆς ματαιότητος, ἔλαμψαν, ὡς ἀστέρες ἐν οὐρανῷ ἐπὶ τῶν τῆς Χίου ἐρήμων ὀρέων, τὰς ἐρήμους πολίσαντες, καθάπερ ὁ Μέγας Ἀντώνιος, Ναὸν ἐν αὐταῖς περικαλλῆ, καὶ Μονὴν ἱερὰν καὶ θαυμασίαν πυργώσαντες, εἰς δόξαν Χριστοῦ τοῦ Θεοῦ, καὶ εἰς ψυχῶν σωτηρίαν, δι' ὧν καὶ τὴν Χίον πᾶσαν ἐκόσμησαν, καὶ πανταχοῦ σεμνῶς ἐφημίσθησαν.

Καὶ οὕτω μὲν περιφανεῖς καὶ ἐπίσημοι ἀνεδείχθησαν κατ' ἐκείνους τοὺς χρόνους οἱ παναοίδιμοι, καὶ ζῶντες, καὶ τεθνεῶτες. Ἀγνοῶ δ' ὅμως πῶς τοιούτων Ἁγίων ἅγιαι ἀρεταὶ, καὶ ἁγνοὶ ἀγῶνες, καὶ κατορθώματα ἔνθεα, οὐκ ἦσαν τεθειμένα εἰς τὴν τοῦ τύπου λυχνίαν, ὅπως λάμπωσι πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, ὅπερ ἐστὶν εἰς σύμπαν τὸ χριστεπώνυμον πλήρωμα, ἀλλ' ἦσαν κεκαλυμμένα ὑπὸ τὸν μόδιον τοῦ ἀνεκδότου, ὧν τὸ κλέος προϊὼν ὁ χρόνος ἐσκέδαζε, κινδυνεύων διὰ τοῦ τῆς λήθης παχέος πέπλου κατασκεδάσαι.

Ἀλλ' ἀφικόμενος εἰς τὸ τῆς Χίου πάτριον ἔδαφος Κωνσταντῖνος ὁ ἐκ Μαυροκορδάτων, ἔκπτωτος τῆς ἡγεμονίας τυγχάνων, ἀνέβη καὶ εἰς Νεαμονὴν προσκυνήσων, μεταξὺ τοῦ 1733 καὶ 1769. Θεασάμενος δὲ τὸ τοῦ Ναοῦ κάλλος

καὶ τὴν λαμπρότητα, καὶ τὸ πολυδάπανον τῆς Βασιλικῆς φιλοτιμίας καὶ μεγαλοπρεπείας θαυμάσας, ἐσκίρτα τὴν καρδίαν ἐκ τῆς χαρᾶς, καὶ ἐμακάριζε τὴν πατρίδα διὰ τὸ μεγαλεῖον τῆς ἐν αὐτῇ Νεαμονῆς. Περιηγησάμενος οὖν καὶ ἰδὼν τὰ τῆς Μονῆς ἀξιοθέατα, ἐξητήσατο καὶ τὴν ταύτης ἱστορίαν, ἀλλὰ μὴ τυχὼν τοῦ αἰτήματος, ὥσπερ ἐπόθει, ἐκτός τινος χειρογράφου, μὴ ἐξακριβοῦντος τὰ γεγονότα παντάπασιν, ἐλυπήθη ὁ φιλόπατρις καὶ πεφωτισμένος ἡγεμονίδης· πατρίῳ δὲ ζήλῳ καὶ εὐσεβείᾳ κεκινημένος, Γαβριήλ τινα Νεαμονήσιον διδάσκαλον παρώτρυνεν ἐξακριβῶσαι τὰ τὴν Νεαμονὴν ἀφορῶντα, καὶ τὴν ταύτης ἱστορίαν συγγράψαι, καὶ τύπους ἐκδοῦναι, καὶ τοῖς προσιοῦσι χορηγεῖν, οἷα φιλεῖ καὶ ὁ Πανάγιος Τάφος, καὶ τῶν μοναστικῶν καταγωγίων πολλά. Καὶ καλὸς μὲν ἦν καὶ θεοφιλὴς ὁ σκοπὸς καὶ ἀξιέπαινος ἡ γνώμη τοῦ φιλοκάλου ἡγεμόνος, ἔλεγεν ὁ διδάσκαλος Γαβριὴλ, ἐπόθουν δὲ τοῦτο ὑπερβαλόντως κἀγὼ, ἀλλ' ἡ Σχολὴ καὶ ὁ Ἄμβων, καὶ ἡ σύνοικός μοι ἀσθένεια, καὶ τὸ σμῆνος τῶν οἰκείων φροντίδων, τὸ περὶ ἐμὲ ἀδιακόπως βομβοῦν, οὐδαμῶς ἐπέτρεπον ἐνασχοληθῆναι εἰς τοιοῦτον ἔργον ἐπίπονον. Ἡ δ' ἠχὼ τῶν λόγων τοῦ Ἡγεμόνος μένει ἔναυλος ἔτι καὶ ξῶσα εἰς τὴν καρδίαν μου, καὶ ἔχω καθ' ἑκάστην ἐλέγχουσαν τὴν συνείδησιν, ὅτι οὐκ ἠσχολήθην νεώτερος εἰς τὸ ἀξιότιμον καὶ θεάρεστον τοῦτο ἔργον.

Ταῦτά μοι διηγούμενος μετὰ πολλοὺς χρόνους ὁ μακαρίτης, ὁπότε δεκαοκταέτης ἐδιδασκόμην παρ' αὐτῷ τὰ γραμματικά, προέτρεπε, λέγων, σὺ κἄν, προκόψας, μὴ ἀμελήσῃς τελέσαι, ὡς Νεαμονήσιος, ἅπερ ἐγὼ ἀτυχῶς οὐκ ἐτέλεσα· συνθεῖναι δηλονότι καὶ ἐκτυπῶσαι τὴν Νεαμονικὴν ἱστορίαν. Ὅθεν ὁ εὐτελὴς καὶ τὰ πάντα ἀνάξιος ἐγὼ τῆς ἐντολῆς καὶ προτροπῆς μεμνημένος τοῦ διδασκάλου, τὰ μὲν τὸ κρῖμα τῆς παρακοῆς δειλιῶν, τὰ δὲ τὴν τῶν Ὁσίων θείαν τιμὴν καὶ δόξαν ἐγκαρδίως ζηλῶν, ἠρξάμην διερευνᾶν τὰ τῆς συνθέσεως πρόσφορα.

Ἐν πρώτοις οὖν τὴν αὐτῶν χειρόγραφον ἀσματικὴν ἐκμελετήσας ἀκολουθίαν, ἀνεῦρον οὐ πολλοῦ λόγου ἀξίαν τε καὶ οἰκείαν αὐτοῖς· τὰ μὲν γὰρ, ὡς δοκεῖ, τῶν παλαιῶν διεφθάρη, τὰ δὲ σεσωσμένα, ἀκατάλληλα ἦν τὰ πολλὰ καὶ ἀνοίκεια τοῖς Ἁγίοις, σύνθεσις μεταγενεστέρων χειρῶν, ἐκ τῆς Ἀκολουθίας τῶν τριῶν Ἱεραρχῶν, καὶ τῆς τοῦ Ἁγίου Ἀντωνίου καὶ Εὐθυμίου, καὶ ἀλλαχόθεν ἐρανισθέντα, καὶ μετακεντρισθέντα ἀδεξίως εἰς τὴν τῶν Ὁσίων Ἀκολουθίαν. Ταῦτα δὲ γέγονεν, ὡς εἰκάζω, μετὰ τὸ μεταβαλεῖν Ἱερεμίαν τὸν Κρῆτα τὸ ἀσκητικὸν αὐτῶν σπήλαιον εἰς ναὸν ἐπὶ τῷ ὀνόματι αὐτῶν· τὰ μὲν γὰρ τῶν ἀσμάτων οἰκείως ἔχουσι ψάλλεσθαι ἐν τῷ ἱερῷ σπηλαίῳ, τὰ δὲ οὐ κοινῶς ἀνεφέροντο, ἀλλ' εἰς τὸν Ἱερεμίαν ἁπλῶς.

Ἀπέκειτο τοίνυν ἐμοὶ συντιθέναι Ἀκολουθίαν οἰκείαν τε καὶ κατάλληλον τοῖς Ἁγίοις κατὰ τὰς ἐκείνων ἀρετὰς καὶ τὰ ἔνθεα κατορθώματα, ὃ δὴ καὶ ἐξετέλεσα τῇ αὐτῶν θείᾳ χάριτι, προσθεὶς καὶ δύο κανόνας παρακλητικούς (α). Ἀστερίσκῳ δὲ σεσημείωκα, ὅσα τῶν παλαιῶν τροπαρίων καὶ ἐν τῇ νέᾳ Ἀκολουθίᾳ προσέθηκα.

Εὑρὼν δὲ καὶ τὸν βίον τῶν Ὁσίων εἴς τε τὸ ἁπλοῦν καὶ εἰς τὸ ἑλληνικὸν, καὶ συμπαραβαλὼν, πολλὴν εἶδον ἀνομοιότητα. Ὁ γὰρ ἀνώνυμος μεταφραστὴς (β), οὐκ οἶδά πως, λέγει, ὅτι ἦλθεν εἰς τὴν Χίον ὁ Μονομάχος ἐπίτηδες, πρὸς ἐπίσκεψιν τῶν Ἁγίων, ἀναβὰς εἰς τὸν Προβατίαν, ὅπου ἠσκήτευσαν, ἐξομολογήσεως χάριν. Ἐκεῖ δὲ προεφήτευσαν αὐτῷ, ὡς βασιλεύσει, ὁδηγήσαντες καὶ εἰς τὴν Μυρσίνην τοῦ προσκυνῆσαι τὴν ἁγίαν εἰκόνα τῆς Θεοτόκου, ἣν εὗρον ἐκεῖ, προσλιπαρήσαντες ἐγκτίσαι Ναὸν καὶ Μονὴν ἐνταῦθα τῇ Θεομήτορι βασιλεύσαντα. Διαφωνεῖ

(α) Τούτων κατέλιπον ἐν ταύτῃ τῇ ἐκδόσει τὸν ἕνα.

(β) Ἡ ἀναφερομένη ἐνταῦθα μετάφρασις ἀπώλετο, μετὰ τῶν ἄλλων. Γ. Φ.

οὖν εἰς ταῦτα τὸ ἁπλοῦν· ἀλλ' οὐδεὶς δισταγμός, ὅτι τὸ ἀληθές ἐστι τὸ ἑλληνικόν· τὸ γὰρ ἁπλοῦν οὐκ ἔστι σύνθεσις, ἀλλὰ μετάφρασις ὡμολογημένη· οἱ γὰρ συγγραφεῖς, ἀλλ' οὐχ οἱ μεταφρασταί, διαφωνοῦσι τῷ πρωτοτύπῳ ἐνίοτε. Παραδεκτέον γοῦν ἐκ τοῦ ἑλληνικοῦ, καὶ ὡς ἀξιοπιστοτέρου διὰ τὴν φράσιν, ὅτι ὁ θεῖος Νικήτας ἔπλευσε σὺν τῷ Ἰωσὴφ εἰς τὴν Λέσβον πρὸς συνέντευξιν τοῦ Μονομάχου.

Ὅλεν ἐγὼ ἐπὶ τῇ βάσει τοῦ ἑλληνικοῦ ὑπομνήματος συνεθέμην τὸν βίον τῶν Ὁσίων μετὰ τῆς δεούσης ἀκριβείας εἰς τὰ νοήματα, ἀναπληρώσας αὐτὸν ἀπὸ τῶν χρυσοσφραγίστων ἢ χρυσοβούλλων τῶν ἀοιδίμων εὐσεβῶν βασιλέων Ἰσαακίου τοῦ Κομνηνοῦ καὶ Κωνσταντίνου τοῦ Δούκα, προσθεὶς καὶ προοίμιον, καὶ θαύματά τινα καὶ εἰδήσεις μεταγενεστέρας. Τὸ δ' ἑλληνικὸν τοῦτο ὑπόμνημα, ἐταξάμην μετὰ τὸν οἶκον κατὰ τὸ ἔθος τῶν Μηναίων τῆς Ἐκκλησίας, πρὸς πίστωσιν καὶ βεβαίωσιν τῶν παρ' ἐμοῦ λεγομένων (α).

Ἐπειδὴ δὲ καὶ ἐν τοῖς χρυσοσφραγίστοις ἀναφαίνεται τὰ βασιλικὰ δωρήματα καὶ χαρίσματα καὶ στηρέσια καὶ τ' ἄλλα προνόμια τῆς Μονῆς, ἔκρινα εὔλογον, εἰς φῶς ἀγαγεῖν καὶ μέρη τινὰ τούτων ἐντῷ παρόντι βιβλίῳ διὰ τρεῖς αἰτίας· α') εἰδήσεως χάριν καὶ ἱστορίας. β') πρὸς βεβαίωσιν τοῦ ζήλου καὶ τῆς εὐσεβείας τῶν ἀοιδίμων βασιλέων τοῦ Βυζαντίου, ὅπως λαμβάνωσι τὸν δίκαιον ἔπαινον καὶ τὸν πρέποντα μακαρισμόν· γ') ὅπερ ἦν καὶ ὁ κυρίως σκοπός μου, ὅπως γένηται κατάδηλος πᾶσιν ἡ ἁγιότης τῶν Ὁσίων, ὡς συμμαρτυροῦσιν οἱ βασιλεῖς δι' αὐτῶν, ἀναφέροντες τοὺς Ἁγίους μετὰ μεγίστης εὐλαβείας καὶ σεβασμοῦ.

Ἦσαν δὲ καί τινες, οἵπερ ἔφασκον, ὅτι ἀντὶ πάσης

(α) Ἐνταῦθα ἐλλείποντας τοὺς πρὸ τοῦ ὑπομνήματος στίχους προσέθηκα συνταξάμενος. Γ. Φ.

ἱστορίας ἱκανὰ ἦσαν τυπωθέντα τὰ χρυσοσφράγιστα. Ἀλλ' ἐπειδὴ ἦσαν εἰς φράσιν ἑλληνικήν, ἀκατάληπτον τοῖς πολλοῖς κατὰ τὴν γνώμην ἄλλων, καὶ ἐδεῖτο ἡ τύπωσις μεταφράσεως, ἀπέσχον τοῦ ἔργου, ἵνα μὴ γένηται ἡ βίβλος ὀγκωδεστέρα τοῦ δέοντος (α).

Λαβὼν ὅμως ἐξ ἐκείνων τὰς συμβαλλούσας εἰς τὴν ὑπόθεσίν μου εἰδήσεις καὶ ἄλλας ἐξ ἄλλων ἱστοριῶν καὶ παραδόσεων, συνεταξάμην τὴν πραγματείαν ταύτην, ποιησάμενος καὶ περιγραφὴν τοῦ Ναοῦ, οὐκ ἐς δέον πάντως, ἀλλὰ κατὰ τὰ ἐνόντα μοι.

Ἐν τούτοις ἐξήνεγκον εἰς φῶς καὶ τὰ τῶν θαυμάτων τῆς Νεαμονίδος Θεοτόκου ὀνομαστότερα, ὅσα ὑπερφυῶς ἐξετέλει εἰς τοὺς μεταγενεστέρους καιροὺς τοῖς ἐπικαλουμένοις αὐτὴν τῷ οἰκείῳ ὀνόματι, Νεαμονὶς Θεοτόκε, ἡ Παναγία Νεαμονήτισσα, βοήθει ἡμῖν. Οὕτω γοῦν συνεπλήρωσα τὴν βίβλον τοῖς θαύμασι τῆς ἁγνῆς Θεομήτορος, τῇ περιγραφικῇ ἱστορίᾳ τοῦ ταύτης Ναοῦ, καὶ τῇ Ἀκολουθίᾳ καὶ τῷ Βίῳ τῶν Ὁσίων. Ἀνέγνωσαν δὲ πολλοὶ τὸ πόνημα τόδε, καὶ ἐπέκριναν αὐτό, ἐν οἷς καὶ ὁ Ἱεροδιδάσκαλος Ἰάκωβος Μαῦρος, καὶ ὁ Ἀθανάσιος ὁ Πάριος, ὁ κριτικώτατός μου διδάσκαλος, καὶ πάντες ἄξιον φωτὸς ὡμολόγησαν.

Δέξασθε τοίνυν αὐτό, ἀδελφοὶ ἐν Χριστῷ περιπόθητοι, καὶ συγχωρεῖτέ μοι, ἐὰν εὑρίσκητε τὴν τῆς Μονῆς ἱστορίαν ἀσαφῆ· οὐ γὰρ ἠμέλησα ἐξερευνῆσαί τε καὶ ἐξακριβῶσαι ἐς δέον, ἀλλὰ τοσοῦτον εἶχον δεξιότητος καὶ δυνάμεως. Ἀναγινώσκοντες δὲ τὸν Βίον τῶν Ἁγίων καὶ τὰ θαυμάσια τῆς Νεαμονητίσσης Ἀειπαρθένου μνημονεύετε καὶ τῆς ἀναξιότητος τῆς ἐμῆς· ὅπως τῇ ταύτης μὲν ἀκαταισχύντῳ προστασίᾳ καὶ μεσιτείᾳ, ταῖς δὲ τῶν Ὁσίων εὐπροσδέκτοις πρεσβείαις πρὸς Χριστὸν τὸν

(β) Ἀλλ' ἐσώζοντο καὶ ἤδη, εἴγε καὶ ταῦτα ἐδίδωσ εἰς φῶς, ἀγαθὲ ἄνερ. Γ. Φ.

Θεὸν ἡμῶν, ἐν μὲν τῷ παρόντι βίῳ ἀνώτεροι τῶν δυσχερῶν διατηρηθῶμεν, ἐν δὲ τῷ μέλλοντι τῆς αἰωνίου Βασιλείας ἀξιωθῶμεν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῷ 1802 κατὰ Ὀκτώβριον.

Ἐν τῇ τῆς Χίου Νεαμονῇ.

Ὁ τῆς ὑμετέρας ἀγάπης ἐν Χριστῷ ἀδελφὸς

ΝΙΚΗΦΟΡΟΣ ΙΕΡΟΔΙΑΚΟΝΟΣ.

ΠΙΝΑΞ ΑΛΦΑΒΗΤΙΚΟΣ

ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Ἀπαλάται ἐν σελίδι 125.

Ἀπότριτα σελ. 124, 130, 145, 206, 209, 210, 214, 221, 245, 246, 249, 252, 256, 258, 277, 278, 281.

Ἀποσπάσματα χρυσοβούλλων 34—47, 177.

Ἀφιέρωσις Ἁγίου Εὐστρατίου 184.—Ἀμπελῶνος εἰς Ἅγιον Ἐλευθέριον 189, 268.—Πλακιδιωτίσσης 198, 273. — Οἴκου ἐν Ἁγίᾳ Μαρίνῃ 215. — Ἱερῶν 254. — Ἀγροῦ εἰς Βατωμένην 260.

Ἀγοραὶ Πνιγούρας 193 — 198. — Ἀναστημάτων ἐν Ἁγίοις μ΄. 200. — Ἐν Καλαμωτῇ 202, 203, 204. — Ἐν Χαλκείῳ εἰς Λειάπυργον 205, 206, 207.— Εἰς Στένακα 209. — Εἰς Μαδόνην 209. — Εἰς Λαβρίναν 210, 236, 245.— Εἰς τὸν γύρον 214. — Εἰς Ἅγιον Ἰωάννην 250. — Εἰς Ἀμέρη 251, — 265, 266. — Ἐν Βερβεράτῳ εἰς Λαβρίναν 208, 246, 256. —Εἰς Ἁγιοθυμήτικα 246. — Ἐν Δαφνῶνι εἰς Λαβρίναν 211, 236 246, 252, 258. — Εἰς Κοιλάδια 212 213, 236. — Εἰς Βουλήσιον 214, 236, 266. — Εἰς Ἐξωχώραφα 248. — Εἰς Σελανοῦς 248. — Εἰς Φαγανῆ 252. — Εἰς Χαλκωματᾶ 266. — Εἰς Σεληνάρια 266. — Ἁγίας Μαρίνης 215—220. — Βεσταρχάτου 220—224.— Ἐν Πυργίῳ τῆς Φανᾶς 226, 228. — Οἴκου καὶ κηπαρίου 229.—Ἐν Καρυαῖς εἰς Γύρους 231. — Εἰς Γερουσίαν Καρυῶν 232.—Τοῦ ἀγροκηπίου Χασούμβεη 232— 235.—τῶν ἐν Ὀλύμποις Γεράνων 238. — Εἰς Ἅγιον Γάλα 239. — Εἰς Πυραμοῦντα 240. — Ἐν Ζοφίᾳ εἰς Πήγαδον 241. — Εἰς Κοκκαλᾶν 242. — Εἰς τὴν ἐν Βολισσῷ Λαγκοβάρδαν 242. — Εἰς Καμάρας 243, 244. — Εἰς Βαβύλους 247. — Νεαμονησίου 255. — Εἰς

Ξώκληρου 257. — Εἰς Θολοποτάμιον 257. — Νεαμονησίου ἱερέως παρὰ Νεαμονησίου ἀρχιερέως 259. — Ἐν Καρδαμύλῃ εἰς Κάραβον 260. — Εἰς Ποδονύκτην 262 — Εἰς τὴν πόλιν τῆς Χίου οἴκων 265. — Εἰς Ἅγιον Πέτρον ἀγροῦ 265.
Ἀλλαγὴ ἀναστάτου ἐν Πυργίῳ 232.

Βιβλίον δ'. 112.
Βοσκήσιμοι τόποι ἐν Μεστολύμποις 125. — Ἐν Πυργίῳ 127. — Ἐν Σιδηροῦντι 128. — Ἐν Πραστίοις 128. — Ἐν Ἐπανοχώροις 131, 133. — Ἐν Καρδαμύλῃ 134—137. Ἐν Πιτυοῦντι 138.
Βιογραφίαι Νεαμονησίων τινῶν. Γρηγόριος Βεστάρχης 292. Γρηγόριος Πρωτοσύγγελος 292. Γαβριὴλ ἱεροκήρυξ 293. Γεννάδιος Βεσσιανὸς 293. Δωρόθεος Πρώϊος 294. Δανιὴλ Κοντούδης 295. Κλήμης Βενέτος 296. Μελέτιος Γιώμελος 297, 118—121. Μελέτιος Φλουρᾶς 297. Νεόφιλος Ἀλεξίου 300. Νεόφυτος Πατριάρχης 300. Νικηφόρος, μετὰ τὴν εἴδησιν τῆς παρούσης ἐκδόσεως ἐν ἀρχῇ (σ'.). — Βιογραφίαι τῶν κτιτόρων βασιλέων, Ζωῆς 304. Κωνσταντίνου 308. Θεοδώρας 314.
Βασιλικὰ φιρμάνια 279—284, 293.

Γεώργιος Πλάνος 154.
Γύροι 139, 141, 143, 231.
Γεροντεῖα 143.

Δίστομον 143.
Διαφοραὶ Καλλιαργητῶν καὶ μονῆς 155. — Δαφνουσίων καὶ μονῆς 156— 175.
Διόρθωσις τῆς βρύσεως ἐν Πυργίῳ 230.
Διαθῆκαι, Μοναχοῦ 212.—Ἐλάτας 253.—Δαφνῶνος 248.

Ἐσπερινὸς μικρὸς 1. — μέγας 4.
Ἐμβατοίκια 144.
Ἐκτιμήσεις 146.

Θαῦμα τῶν Ὁσίων 290 — τοῦ Ἁγίου Εὐστρατίου καὶ τῶν

σὺν αὐτῷ 72. — Τῆς Θεοτόκου ἐπὶ τῷ Γότθῳ τοξεύσαντι τὴν ταύτης εἰκόνα 48. — Ἐπὶ τῷ χειμαζομένῳ πλοίῳ 49. — Ἐπὶ τῷ πλοίῳ τῷ καταδιωχθέντι ὑπὸ πειρατικοῦ 51. — Ἐπὶ τῇ ἀναζωγραφουμένῃ ταύτης εἰκόνι 52. — Ἐπὶ τῷ ἀπὸ τοῦ πύργου κατολισθήσαντι 54. — Ἐπὶ ἡμιόνῳ ἔλαιον αὐτῇ κομιζούσῃ 55. — Ἐπὶ Ὀθωμανίδι τοῦ μὴ εἰς τὴν ἑαυτῆς μονὴν εἰσελθεῖν 56. — Ἐπὶ γυναικὶ Καλαμασιώτιδι 57. —Ἐπὶ ἱεροσυλήσαντι ἐν τῷ ταύτης ναῷ 59. — Ἐπὶ εὐλαβεῖ κατακρημνισθέντι ἐκ παραθύρου 60. — Ἐπὶ τοῖς βουληθεῖσι τὸν ταύτης ἱεροσυλῆσαι ναόν. 62. — Ἐπὶ βλασφήμῳ 63. —Ἐπὶ ἀναξίως ἱερωθέντι 64. — Ἐπὶ ταῖς ἀνευρέσεσι τῆς ἑαυτῆς εἰκόνος 66. — Ἐπὶ τῷ κατακρημνισθέντι ἐξ ὄρους 289.

Ἱστορία τῆς Μονῆς 85' — καὶ ἐν βιβλίῳ δ'. 112 ἄχρι τέλους.
Κατάλογος οἰκιῶν ἐν τῇ πόλει τῆς Χίου 267.
Κανὼν παρακλητικὸς τοῖς Ὁσίοις 106.
Καρδάμυλα 123, 134—138, 146—152, 160—165, 284.
Καμίνα ἡ ἐν Πιτυοῦντι 138.
Καλαμωτὴ καὶ Καλαμασιὰ 123.
Κρουναία 140, 142.— Κηπία. Κεφαλόβουνοι 140.

Μαμωνίδες 116.
Μετόχια 122—125.

Νεόγραφα 269—288.
Ξενοπρεπὴς κιβωτὸς 153.

Ὅρια Νεαμονῆς καὶ Συκοῦντος 225.
Ὄρθρος 11.
Ὁσίων βίος 34.
Ὄρος 133.

Περιγραφὴ τοῦ ναοῦ 76.
Πληγαὶ τῆς μονῆς ά. 116. δ'. 121.
Πραστία 128.

Πλαισιώδηκες 129, 134, 137, 146, 151.
Πλακοῦσαι καὶ Χορτιανὸς 134.
Περιοχὴ τῆς μονῆς 138—144.
Πυργίον 125, 152, 226—229, 252.
Πίτυς, Παμφυλὶς, Πάρος 125.
Πένθοδος 240—142.
Πλάτανος καὶ Βούκρανον 142—143.
Πλακιδιώτισσα 198, 273.
Περὶ Ἀγρελωποῦ 201—περὶ Ἀγρελίων 238.
Περίληψις χειρογράφων τινῶν 265.
Παραλειπόμενα 289.

Συνθήκη Χίων καὶ Γενουηνσίων 114.
Σύστημα Νεαμονικὸν 122, 124, 130, 145, 146, 151.
Σιγγίλιον 269.
Σφηκοῦς 133.

Χρέη Μονῆς. 121.
Χορτιανὸς 134.

ΤΗ ΕΙΚΟΣΤΗ ΤΟΥ ΜΑΙΟΥ ΜΗΝΟΣ,

ΤΗΝ ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ

ΤΩΝ ΟΣΙΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΝΙΚΗΤΑ ΙΩΑΝΝΟΥ *καὶ* ΙΩΣΗΦ

ΤΩΝ ΚΤΙΤΟΡΩΝ ΤΗΣ ΕΝ ΧΙΩ

ΝΕΑΜΟΝΗΣ.

Ἐν τῇ μικρῷ ἑσπερινῷ ἱστῶμεν στίχους δ'.
καὶ ψάλλομεν τὰ παρόντα προσόμοια ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες ὕμνοις τιμήσωμεν, τοὺς τρεῖς ἡμῶν Πατέρας, τοὺς τιμήσαντας σφόδρα Τριάδα παναγίαν παντοδαπῶν, ἀρετῶν ἐπιδείξεσι, καὶ γὰρ ἰσάγγελον βίον ἐπὶ τῆς γῆς, καὶ οὐράνιον διήνυσαν.

Τῶν ἐγκωμίων τὰ ἄνθη, περιδρεψάμενοι, ἀειθαλεῖς στεφάνους, ἀναπλέξωμεν τούτοις, πρὸς γὰρ τοὺς ἀοράτους τῶν δυσμενῶν ἀνδρικῶς ἠγωνίσαντο, καὶ τὰς ἐκείνων κατήργησαν μηχανὰς, τοῦ σταυροῦ τῇ θείᾳ χάριτι.

Φαεινοτάτους φωστῆρας, ἡ Χίος ἔγνωκε, τῶν ἀρετῶν ταῖς αἴγλαις, καταυγάζοντας ταύτην, ὑμᾶς θεῖοι Πατέρες, τῶν ἀσκητῶν, ἱερὸν ἐγκαλλώπισμα, καὶ ἀρχηγοὺς μονοτρόπων τῶν ἐν αὐτῇ, θεοσόφους καὶ συλλήπτορας.

Τοὺς ἀκηράτους καὶ θείους, καρποὺς τοῦ πνεύματος, ἐπὶ τῆς γῆς Πατέρες, ὡς θεόφυτα ξύλα, βλαστήσαντες ἀξίως ἐν οὐρανοῖς, τῆς τρυφῆς ἀπολαύετε, τοῦ γνωστικοῦ καὶ ἀφθάρτου ξύλου σεπτοί, θείας γνώσεως πληρούμενοι.

Δόξα ἦχος πλ. ά.

Ὅσιοι Πατέρες, Νικῆτα, Ἰωάννη, καὶ Ἰωσὴφ, ὁ Κόσμος κατὰ Παῦλον, οὐχ ὑμῶν ἐφάνη ἄξιος· ἐν ἐρημίαις γὰρ πλανώμενοι, καὶ ὄρεσιν ἐντρεφόμενοι, σπηλαίοις τε καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐνοικοῦντες, ὑπερκόσμιοι γεγόνατε, καὶ τοῦ οὐρανοῦ οἰκήτορες ἄξιοι· αἰτήσατε οὖν ἡμῖν εἰρήνην παρὰ Θεοῦ, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν τῆς τυχούσης ἑορτῆς, εἰ δὲ μὴ, Μακαρίζομέν σε.

Εἰς τὸν στίχον σιχηρά. ἦχος β'.

Οἶκος τοῦ Ἐφραθᾶ.

Ἅπαντες ἀδελφοὶ, συνέλθωμεν προθύμως, τὴν μνήμην ἑορτάσαι, Νικήτα, Ἰωάννου, καὶ Ἰωσὴφ τοῦ μάκαρος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Χάρις προφητικὴ, τοῖς θείοις ἐπεδόθη, Νικήτα, Ἰωάννῃ, καὶ Ἰωσὴφ τῷ θείῳ, τοῦ γνῶναι τὰ ἐσόμενα.

Στίχ. Μακάριος ἀνὴρ, ὁ φοβούμενος τὸν Κύριον.

Ἐν ὕψει ἀρετῶν, ἤστραψαν ὡς ἀστέρες, δι' ὃ καὶ τῆς ἐνθέου, ἠξιώθησαν δόξης, Θεῷ νῦν παριστάμενοι.

Δόξα καὶ νῦν.

Πανάχραντε ἁγνὴ, σὺν τοῖς σεπτοῖς Ὁσίοις, ποιήσατε πρεσβείαν, πρὸς τὸν ἐκ σοῦ τεχθέντα, περιφρουρεῖν τὴν ποίμνην σου.

© SISMANOGLIO

ΕΝ ΔΕ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ,

ΜΕΤΑ ΤΟΝ ΠΡΟΟΙΜΙΑΚΟΝ,

ΨΑΛΟΜΕΝ ΤΟ, ΜΑΚΑΡΙΟΣ ΑΝΗΡ,

ΕΙΣ ΤΟ ΚΥΡΙΕ ΕΚΕΚΡΑΞΑ

Ἐὰν μὲν τῇ αὐτῶν μνήμῃ καί τις συμπέσῃ τῶν ἑορτῶν, ἱστῶμεν σίχους ι΄. τῆς ἑορτῆς δ΄. καὶ ς΄. τῶν Ἁγίων, εἰ δὲ μή, ἡ. μόνους.

Ἦχος πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν ἅγιοι;

* Ποίαν ὑμνῳδίαν προσοίσωμεν, ἐπαινοῦντες ἐπαξίως τοὺς πατέρας τοὺς σεπτούς; οὓς Τριὰς ἡ παναγία, κατεστέψατο λαμπρῶς, ὡς ταύτην εἰκονίζοντας τῷ πνεύματι, καὶ θείοις ἀγωνίσμασιν ἐμπρέψαντας θεῖον Ναόν τε ἐγείραντας, περικλλῆ καὶ θαυμάσιον, αἰτοῦντας δὲ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὅσιοι Πατέρες θεσπέσιοι, κατὰ χρέος εὐφημοῦμεν, τοὺς ἀγῶνας τοὺς σεπτοὺς, οὓς ὑπέστητε γενναίως, κατ' ἐχθρῶν τῶν ἀφανῶν, καὶ νίκης κατ' αὐτῶν ἤρατε τρόπαια, τῷ ὅπλῳ τοῦ σταυροῦ καθοπλισάμενοι, καὶ προσευχῶν ἐν τοῖς βέλεσι, δεινῶς αὐτοὺς τραυματίσαντες, πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

* Τί ὑμᾶς προσείπω θαυμάσιοι; Ἰωάννη θεορρῆμον καὶ Νικῆτα θαυμαστὲ, Ἰωσὴφ ὁ ἐγκρατείας, στάθμη ἔνθεος ὀφθείς; τὴν χάριν γὰρ Θεοῦ ὁ μὲν ἐκτήσατο, τὴν νίκην κατ' ἐχθρῶν ἕτερος ἤρατο, ὁ δὲ τὸ σῶφρον ἐπηύξησε τοῦ συνωνύμου ταῖς χάρισιν, αἰτήσατε, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Τί ὑμᾶς καλέσωμεν Ὅσιοι; ἀρχηγοὺς τῶν μοναζόντων, τῶν ἐν Χίῳ θαυμαστοὺς, ἢ μιγάδων θείαν στάθμην, καὶ κανόνα Ἱερόν; ἀσκήσεως γὰρ πόνοις μόνοι πρότερον, ἰσάγγελον ἐκτήσασθε πολίτευμα, εἶτα Μονὴν ἀνηγείρατε, τῆς ἀρετῆς παιδευτήριον, καὶ ὄφθητε, ὁδηγοί τε καὶ προστάται ψυχῶν.

Ἕτερα Γρηγορίου Φωτεινοῦ. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσι.

Πανοπλίαν ἀράμενος τὸν σταυρὸν μάχης, ὅσιε, νοητῆς, κατέβαλες τὸν Ἀλάστορα· νίκην, Νικήτα, κτησάμενος, καὶ ἔστησας τρόπαια κατ' αὐτοῦ τοῦ δυσμενοῦς, Ἰωάννην τε σύναθλον, καὶ θεόφρονα Ἰωσὴφ ἔχων, μάκαρ, καὶ τὰ στέφη σὺν ἐκείνοις ἀπεδέξω παρ' ἀθλοθέτου παντάνακτος.

Προβατίας θεότευκτον ὑμῖν ἄντρον δεδώρηται, ἔνθα τοῖς παλαίσμασι κατεβάλετε, ὡς ἐν κονίστρᾳ ἀθλήσεως, ἀρχέκακον Δράκοντα, Ἰωάννη, Ἰωσὴφ καὶ Νικήτα, θεότιμοι· διὸ μέλπουσα ἑορτάζει ὑμᾶς Μονὴ ἡ Νέα καὶ φαιδρῶς πανηγυρίζει καὶ Χίος πᾶσα γηθόσυνος.

Ἀπὸ γῆς ἀνυψώθητε, πρὸς οὐράνιον τέμενος, ἔνθεν σελαγίζετε ὡς ὑπέρλαμπροι ἀστέρες τρεῖς, γέρας ἔχοντες, τὸ φέγγος τὸ ἄδυτον, ἐξ Ἡλίου νοητοῦ, τοῦ Θεοῦ, τοῦ φωτίζοντος καὶ βραβεύοντος καὶ δοξάζοντος πάντας τοὺς ἐν χώραις ταῖς αὐτοῦ γεηπονοῦντας πρὸς ἀμητὸν καρπιμώτατον.

Ἡ Μονὴ, ἣν ἐδείματε, τὴν ὑμῶν μνήμην σήμερον

ἑορτάζει ψάλλουσα πανευφρόσυνον· ὑπὲρ ἧς τοίνυν πρεσβεύετε, ἀπήμαντον σώζεσθαι ἐκ Θεοῦ διηνεκῶς, καὶ ἀπάσης κολάσεως ἀπαλλάττεσθαι τοὺς δομήτορας τῆσδε Κωνσταντῖνον καὶ Ζωὴν καὶ Θεοδώραν καὶ τοὺς ἐν ταύτῃ μονάζοντας.

Δόξα ἦχος πλ. β΄.

Ἀσκητικὴν ὁδεύσαντες ὁδὸν, παθῶν σαρκὸς ὁρμὰς ἐνεκρώσατε, Πατέρες τρισόλβιοι· ἐν γὰρ δυσβάτοις ὄρεσι, καὶ κρημνώδεσι φάραγξι διαιτώμενοι, τὸ κατ' εἰκόνα Θεοῦ ἀλώβητον ἐτηρήσατε· ὅθεν θείαν εἰκόνα τῆς ἀειπαρθένου καὶ Θεομήτορος, περιλαμπομένην φωτὶ, ὡς ἀστέρα φαεινὸν ἐν τόπῳ ἀλσώδει θεωρήσαντες, Ναὸν ἐκεῖ περικαλλῆ καὶ ὡραῖον, καὶ Μονὴν τὴν Νέαν, βασιλικοῖς ἀναλώμασιν ἀνῳκοδομήσατε, ἣν ταῖς ὑμετέραις εὐχαῖς, ἀσινῆ εἰς τοὺς αἰῶνας φυλάττοιτε, ἀποσοβοῦντες τὰ θράση τῶν βαρβάρων ἐχθρῶν, καὶ πᾶσαν ἐπήρειαν.

Καὶ νῦν τῆς Ἑορτῆς, εἰ δὲ μή. Τίς μὴ μακαρίσει σε. Εἴσοδος, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Βασιλειῶν τρίτης τὸ ἀνάγνωσμα.

Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου Κυρίου, ἐνώπιον πάσης Ἐκκλησίας Ἰσραὴλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε. Κύριε ὁ Θεὸς Ἰσραὴλ, οὐκ ἔστι Θεὸς ὡς σὺ ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω· εἰ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ οἶκος οὗτος, ὃν ᾠκοδόμησα ἐν τῷ ὀνόματί σου; πλὴν καὶ ἐπιβλέψῃ ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεὸς, Ἰσραὴλ, ἀκούειν τῆς δεήσεως, καὶ τῆς προσευχῆς, ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου πρὸς σὲ σήμερον, τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν οἶκον τοῦτον, ὃν εἶπας, ἔσαι τὸ ὄνομά σου ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον· καὶ σὺ εἰσακούσῃ εἰς τὸν τόπον τῆς

κατοικήσεώς σου ἐν τῷ οὐρανῷ, καὶ ποιήσεις καὶ ἵλεως ἔσῃ αὐτοῖς.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ, καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται, κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώπων, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἥρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλεύει νοῦν ἄκακον τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας, οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ἰδιόμελα εἰς τὴν λιτήν· ἦχος ά.

Τὴν ἱερὰν τῆς Χίου ἀπαρχὴν, καὶ τὸ σεπτὸν πρὸς Θεὸν ἀκροθίνιον, εὑρημήσωμεν πιστοὶ, τὴν τριάριθμον χορείαν τῶν Ὁσίων, καὶ τρίφωτον λαμπάδα· οὗτοι γὰρ πρῶτοι τῶν ἐν αὐτῇ πάντα καταλιπόντες τὰ ἐν γῇ, καὶ Χριστῷ ἀκολουθήσαντες, διὰ παντοίων πόνων τῆς ἀσκήσεως, αὐτῷ εὐηρέστησαν, καὶ ταῖς ἀκτῖσι τῶν θεουργῶν ἀρετῶν ἀστράψαντες ὁδηγοὶ κοινοῦ καὶ ἀγγελόφρονος βίου ἐχρημάτισαν· καὶ νῦν ἐν οὐρανοῖς, τῷ θείῳ τῆς ἀρχιφώτου Τριάδος φωτὶ παριστάμενοι, πρεσβεύουσι φωτισθῆναι τοὺς τιμῶντας αὐτούς.

Ὁ αὐτός.

* Τὰ τῆς Χίου περικαλλῆ ἀναθήματα, σήμερον πιστοὶ ὑμνήσωμεν, Νικήταν τὸν ἔνδοξον, καὶ τὸν Θεοφόρον Ἰωάννην, σὺν Ἰωσὴφ τῷ κλεινῷ· οὗτοι γὰρ οἱ καρτερόψυχοι, τὰς φάλαγγας τῶν δαιμόνων τροπώσαντες ἐν γῇ, ἐν οὐρανοῖς ἐπαξίως αὐλίζονται, καὶ ἀμέσως τῇ Τριάδι παριστάμενοι, πρεσβεύουσι σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Ἐπέστη ἡμῖν ἡμέρα χαρμόσυνος, καὶ ἑορτὴ πανσεβάσμιος, τῶν θεοφόρων ἡμῶν Πατέρων· δεῦτε δὴ πάντες οἱ τούτων ὀπαδοὶ, τὴν Θήκην τῶν ἱερῶν αὐτῶν Λειψάνων, μετ' εὐλαβείας κυκλώσαντες εἴπωμεν Πατέρες θεῖοι, οἱ τὸν ζυγὸν τοῦ Χριστοῦ προθύμως ἀράμενοι, καὶ τὰς ἐντολὰς αὐτοῦ καλῶς φυλάξαντες, καὶ ἡμᾶς τοὺς ἀθλίους εἰς τὴν αὐτῶν ἐνισχύσατε τήρησιν, τῆς ματαίας ῥυόμενοι τύρβης, καὶ γεώδους προσπαθείας· ὑπὸ γὰρ τῆς τούτων ζοφωθέντες ἀχλύος, τῶν πρὸς Θεὸν συνθηκῶν ἡμῶν ἐπελαθόμεθα, ἀλλ' ὡς τῷ ἀπροσίτῳ τῆς θεότητος φωτὶ παριστάμενοι, καὶ ταῖς παρ' αὐτοῦ θείαις ἐλλαμπόμενοι ἀκτῖσι, φωτισμὸν καὶ ἱλασμὸν ἡμῖν ἐξετήσατε, τοῖς τὴν ἱερὰν ὑμῶν μνήμην γεραίρουσι.

Ἦχος δ'.

Σπηλαίῳ ἐνῳκήσατε, διὰ βίου, τὴν τοῦ ἐν σπηλαίῳ τεχθέντος, μιμούμενοι πτωχείαν, ἀποχωρήσαντες δὲ τὸν νοῦν, τῶν ὑλικῶν ἁπάντων, δι' ἐγκρατείας ψαλμῳδίας τε καὶ προσευχῆς, αὐτῷ προσεκαρτερήσατε· ὅθεν τῷ πνεύματι τὴν διάνοιαν ἐλλαμφθέντες, τὰ μέλλοντα τῷ Μονομάχῳ προειρήκατε, καὶ τὴν τοῦ περικλεεστάτου τούτου Ναοῦ οἰκοδομὴν ἐξητήσασθε· ἐν ᾧ καὶ ἡμεῖς συνελθόντες, ἑορτάζομεν πόθῳ τὴν μνήμην ὑμῶν, ἐκτενῶς δεόμενοι, ἵνα πρεσβεύητε πρὸς Κύριον, οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος πλ. ά.

Πανηγύρεως ἡμέρα τῶν θεοφόρων ἡμῶν Πατέρων, συνευφρανθῶμεν ἐνθέως ἀδελφοὶ, καὶ πνευματικῶς μελῳδοῦντες, εὐφημήσωμεν αὐτούς. Χαίρετε λέγοντες, Ὁσίων ἐγκαλλώπισμα, οἱ κατὰ Παῦλον σκύβαλα ἡγησάμενοι πάντα, καὶ τῷ Χριστῷ ὁλοψύχως ἀκολουθήσαντες. Χαίρετε οἱ ἐν ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐγκρυπτόμενοι, καὶ μόνως μόνοι, τῷ Θεῷ ἀδιαλείπτως προσευχόμενοι. Χαίρετε οἱ τὰς ψυχὰς ἁγνισθέντες θεοπρεπῶς, καὶ πνευματικῆς πλησθέντες χάριτος, εἰς τὸ προφητεύειν τὰ μέλλοντα· ἐπίγειοι ἄγγελοι, οὐράνιοι ἄνθρωποι, θερμοὶ προστάται ἡμῶν καὶ κηδεμόνες· ὡς ἔχοντες παῤῥησίαν πρὸς Θεὸν, αἰτήσατε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος, τοῖς ἐκ πόθου τελοῦσι τὴν μνήμην ὑμῶν.

Καὶ νῦν τῆς Ἑορτῆς· εἰ δὲ μὴ,
Μακαρίζομέν σε.

Εἰς τὸν Στίχ. Προσόμοια ἦχος πλ. ά.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Δεῦτε ἐν θείοις ὕμνοις πιστοὶ, τοὺς τρεῖς Πατέρας

εὐφημήσωμεν σήμερον, Νικήταν τὸν καθαιρέτην, τοῦ ἀρχεκάκου ἐχθροῦ, Ἰωσὴφ τὸν θεῖον καὶ θεόφρονα, τὸν σάρκα τῷ πνεύματι, δουλωσάμενον ἄριστα, καὶ Ἰωάννην τὸν δοχεῖον γενόμενον θείας χάριτος, καὶ προδρόμου ἐπώνυμον, κράζοντες παναοίδιμοι, Πατέρες δοξάζομεν, τοὺς ἱεροὺς ὑμῶν ἄθλους, καὶ τοὺς ἀγῶνας θαυμάζομεν, οὓς ἐνθέως ζῶντες, ὑπηνέγκατε προθύμως μακαριώτατοι.

Τίμιος ἐναντίον Κυρίου.

Χαίροις ἡ τῶν Ὁσίων Τριὰς, ἡ θεία θείως τὴν Τριάδα λατρεύσασα, Πατέρα Υἱὸν καὶ Πνεῦμα, τὴν ἐνιαίαν ἀρχὴν, καὶ ψαλμοῖς καὶ ὕμνοις καὶ δεήσεσι, καὶ πόνοις ἀσκήσεως, καὶ ἀγῶσι μακάριοι, σῶμα νεκροῦντες, καὶ ψυχὴν ἐκκαθαίροντες, θείοις νάμασι τῶν δακρύων ἑκάστοτε, σκήνωμα ἱερώτατον, αὐτὴν ἐποιήσατε, τῆς θείας χάριτος ὄντως, καὶ οἰκητήριον ἅγιον, ἧς ἀξιωθῆναι, καὶ ἡμᾶς ἐκδυσωπεῖτε τὸν πανοικτίρμονα.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τῶν Κύριον.

Χαίροις τῶν ἀσκητῶν ἡ τριὰς, Νικήτα νίκης, ὁ φερώνυμος Χαῖρέ μοι, καὶ χάριτος τῆς ἐνθέου, ὁ ἐπωνύμως κληθεὶς, Ἰωάννη χαῖρε παναοίδιμε, Παγκάλου ὁμώνυμε, Ἰωσὴφ καὶ ὁμότροπε, χαῖρέ σοι ᾄδω, σωφροσύνης τὸ ἄγαλμα, ἡ τριὰς ὁμοῦ, χαίροις, πᾶσα τηρήσασα, ὅλως ἀδιαλώβητον, εἰκόνα τοῦ κτίστου σου, καὶ ἐφικτὸν ὡς ἦν ὄντως, ταῖς ἀρεταῖς πρὸς ὁμοίωσιν, Θεοῦ ἀναβάσα, ὃν ἱκέτευε σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

Δόξα ἦχος πλ. δ΄.

Σολομὼν μὲν ὁ θαυμάσιος, πάλαι τὸν Ναὸν οἰκοδομήσας, ἔστη πρὸ τοῦ θυσιαστηρίου παρὰ Θεοῦ ἐξαιτούμενος, εἶναι τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἀνεῳγμένους εἰς αὐτὸν, καὶ εἰσακούειν τῆς ἐν αὐτῷ τοῦ λαοῦ δεήσεως· ὑμεῖς δὲ πανεύφημοι τὸν περίκλυτον τοῦτον δομησάμενοι Ναὸν, ἡμῖν τοῖς ἐν αὐτῷ ἀναξίως προσευχομένοις, διηνεκῶς παρ' αὐτοῦ τῶν ἁμαρτιῶν ἐξαιτεῖσθε τὴν λύσιν, καὶ τὸ θεῖον αὐτοῦ καὶ πλούσιον ἔλεος.

Ἀπολυτίκιον ἦχος δ΄.

Οἱ ὅσιοί σου, Κύριε ἐν τῇ ἀσκήσει αὐτῶν, στεφάνους, ἐκομίσαντο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· Σὴ ἰσχύϊ Νικήτας, Ἰωσὴφ, Ἰωάννης, ἔθραυσαν τῶν δαιμόνων τὰ ἀνίσχυρα θράση, Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ὑμῶν.

Ἕτερον ἦχος ά. τοῦ λίθου σφραγισθέντος.

Τοὺς εὑρόντας εἰκόνα τῆς θεομήτορος, τοὺς Νεαμονὴν θεοφρόνως μονάζουσι δείμαντας· Νικήταν, Ἰωάννην, Ἰωσὴφ, τοὺς ῥείθρῳ ἐνθέων ἀρετῶν, Χίου πάσης τὰς ἀρούρας τὰς νοητὰς ἀρδεύσαντας, εὐκαρπῆσαι· δοξάσωμεν σήμερον φαιδροὶ, βίους τούτων ζηλώσαντες. ὅπως αὐτῶν δεήσεσι, θεῖον εὕρωμεν ἔλεος.

Καὶ νῦν τοῦ Γαβριὴλ φθεγξαμένου, ἡ τῆς ἑορτῆς ἐὰν τύχῃ.

Καὶ μετὰ τὰ συνήθη. Ἀνάγνωσις εἰς τὸν Βίον τῶν ἁγίων.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν ά. στίχ. Καθίσματα Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἀσκήσει τὴν ψυχὴν, καθαρθέντες ἐνθέως, ἐφάνητε λαμπροὶ, ἀρετῶν ταῖς ἀκτῖσι Πατέρες παναοίδιμοι, τῆς Τριάδος, ἰσάριθμοι, καὶ τὰ μέλλοντα θεόθεν θεῖοι προγνόντες, ἐδηλώσατε τῷ Μονομάχῳ ἐν Λέσβῳ, καὶ ἔργον ἡ πρόῤῥησις.

Δόξα ὅμοιον.

Τριάδα τὴν σεπτὴν, τῶν Ὁσίων ὑμνοῦντες, βοήσωμεν Χριστῷ, πολυέλεε Σῶτερ, ἱλάσθητι τοῖς δούλοις σου, ἱκεσίαις δεξάμενος, τῶν ἁγίων σου, τῶν ἐν ἀσκήσει

λαμψάντων, καὶ ὑπόδειγμα, ἐνθέου βίου ὀφθέντων, ἐν Χίῳ λαμπρότατον.

Καὶ νῦν τῆς Ἑορτῆς ἡ Μαρία τὸ σεπτόν.
Εἰς τὴν β'. ςίγ. Κάθισμα ἦχος πλ. δ'.
Τὴν Σοφίαν καὶ Λόγον.

Μωϋσέως τῷ ζήλῳ καὶ Ἠλιοῦ, καὶ Προδρόμου μιμήσει θεῖα σοφοὶ, ἐρήμοις ἐν ὄρεσι, διὰ βίου ὡκήσατε, ὦ Ἰωάννη μάκαρ, Νικῆτα ἀοίδιμε, Ἰωσὴφ Θεοφόρε, τῆς Χίου βλαστήματα, ὅθεν καὶ τὴν χάριν, προφητείας ἀξίως, θεόθεν εἰλήφατε, προθεσπίσαι τὰ μέλλοντα, Κωνσταντίνῳ τῷ Ἀνακτι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορταζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα ὁ αὐτὸς Τὸ προσταχθέν.

Τὸ ἐκ Θεοῦ προγνωσθὲν οἱ Θεοφόροι, λαβόντες ἄμφω, Ἰωσήφ τε καὶ Νικήτας, πρὸς τὴν Λέσβον ἔπλευσαν καὶ τῷ Κωνσταντίνῳ, ἐδήλουν λόγοις ἁπλάστοις, καὶ τὴν πολλὴν, ἀνίαν τὴν ἐν ἐκείνῳ μεταβαλεῖν, ἐπειρῶντο οἱ πάνσοφοι, τὴν Βασιλείαν λαβεῖν, προλέγοντες ἐκ πνεύματος, καὶ πιστεῦσαι παρέπεισαν.

Καὶ νῦν τῆς Ἑορτῆς εἰδὲ μὴ, τὸ προσταχθέν.
» Εἶτα Ἀνάγνωσις εἰς τὰ θαύματα τῆς Θεοτόκου· καὶ γενέσθω ἡ ἀρχὴ ἀπὸ τοῦ προοιμίου τῶν θαυμάτων, καὶ τελειωθήτω, ἕως τοῦ θαύματος τοῦ κατὰ τῆς Χανοῦμ γενομένου.

Δόξα ἦχος δ'. ἐπεφάνης σήμερον.

Τοὺς τὴν θείαν μνήμην σου, Τριὰς Ὁσίων, ἐν ᾠδαῖς γεραίροντας, καὶ εὐφημοῦντας ἀσινεῖς, σῶζε ταῖς θείαις πρεσβείαις σου, νόσων παντοίων ψυχῆς τε καὶ σώματος.

» Μετὰ τὸν Πολυέλεον. Κάθ. ἦχος πλ. ά.
Τὸν συνάναρχον Λόγον.

* Θεοφόροι Πατέρες ὡς πρὶν ἐρρύσασθε, τῆς λοιμικῆς ἀσθενείας τὸν προσφυγόντα ὑμῖν, καὶ δεόμενον θερμῶς, τυγεῖν ἰάσεως, Ἱερεμίαν τὸν ὑμῶν, οἰκέτην ἅγιοι πιστὸν, ὁράματι ἐποφθέντες· οὕτω καὶ νῦν κατεχόντων, παθῶν, πρεσβεύσατε ῥυσθῆναι ἡμᾶς.

Καὶ νῦν τῆς Ἑορτῆς, ἡ Χαῖρε πύλη Κυρίου.
Οἱ ἀναβαθμοὶ, Τὸ ά. ἀντίφωνον τοῦ δ'. ἤχου.
Προκείμενον. Τίμιος ἐναντίον Κυρίου. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων.
Πάτερ πανσ. Εὐαγγέλιον ζήτει Ὁσιακὸν· ὁ Ν'. Δόξα ταῖς τῶν σῶν Ὁσίων· καὶ νῦν ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός. καὶ τὸ ἰδιόμελον πλ. β'.

Ἰσάγγελον βιοτὴν ἐν γῇ διώσαντες Θεοφόροι, ἰσάγγελον ἐν οὐρανῷ παρὰ Θεοῦ ἐκομίσασθε εὐκλειαν, Ἰωσὴφ, Νικῆτα, καὶ Ἰωάννη μὴ οὖν ἐλλίπητε πρεσβεύοντες αὐτῷ, ἐλεῆσαι καὶ σῶσαι τοὺς τιμῶντας ὑμῶν τὸ μνημόσυνον.

» Εἶτα ὁ Κανὼν τῆς Ἑορτῆς ἡ τῆς Θεοτόκου καὶ τῶν ἁγίων. Κανὼν ά. ᾠδὴ ά. ἦχος δ'.
Ἀνοίξω τὸ στόμα μου.

Τὸν νοῦν μου καταύγασον, Τριὰς ἁγία σαῖς λάμψεσι, καὶ φώτισον δέομαι, τοῦ ἀνυμνῆσαί σου, τὴν τρισάριθμον, χορείαν τῶν Ὁσίων, πηγὴ φωτοπάροχε, τὴν σὲ δόξασαν.

Πατέρες θεόφρονες, Τριάδος θείας θεράποντες, ἡμῖν καταπέμψατε, χάριν οὐράνιον, τοῖς γεραίρουσιν,

SISMANOGLIO

ὑμῶν τὴν πολιτείαν, τὴν ὄντως ἰσάγγελον καὶ ὑπὲρ ἄνθρωπον.

Κόσμον ἀρνησάμενοι, καὶ τὰ ἐν Κόσμῳ ἀοίδιμοι, σταυρὸν δὲ ἀράμενοι ἐπὶ τῶν ὤμων ὑμῶν· τὸν χρηστὸν ζυγὸν, Χριστοῦ τοῦ πραοτάτου, ἐν ᾧ θείαν εὕρατε, ψυχῆς ἀνάπαυσιν.

Θεοτοκίον.

Δυνάμωσον Δέσποινα, τὸ ἀσθενὲς τῆς καρδίας μου, καὶ ςήριξον πάθεσι περιτρεπόμενον, ὅπως πίστει σε, καὶ πόθῳ μακαρίζω, τὴν ἀειμακάριστον καὶ παναμώμητον.

Ἕτερος Κανών. ἦχος πλ. δ'.

» Ἁρματηλάτην Φαραὼ· οὐ ἡ ἀκροστιχίς, τὸ ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις, Νικηφόρου.

Ἀπὸ χειλέων ἐναγῶν, πανάγιοι, ὕμνον προσάδω ὑμῖν, ὁ ῥυπαρὸς ὅλος, ψυχῇ τε καὶ σώματι, ἀλλ' εὐμενῶς προσδέξασθε, Χριστομίμητοι τοῦτον, καὶ καθαρθῆναι με πρέσβευε, Τριὰς τῶν Ὁσίων πρὸς Κύριον.

Βίον ἀγγέλων ἀληθῶς ἰσάγγελοι, διαβιοῦντες ἐν γῇ, Ὅσιοι Πατέρες, ἀσκητῶν τὸ καύχημα, ἀπάθειαν ἐκτήσασθε, καὶ πρὸς ἔνθεον ὕψος, τῶν ἀρετῶν ἀνεδράμετε, καὶ νῦν τοῖς ἀγγέλοις ἡνώθητε.

Γέγονας τύπος καὶ κανὼν ἀσκήσεως, ὦ μακαρία Τριὰς, εἶτα κοινοῦ βίου, ἱερῶς προέστητε, Νικῆτα παμμακάριστε, Ἰωάννη θεόφρον, καὶ Ἰωσὴφ παναοίδιμε, λύχνοι παμφαεῖς διακρίσεως.

Θεοτοκίον.

Ναοὶ Τριάδος λογικοὶ γεγόνατε, θεοπρεπῶν ἀρετῶν, τῷ ἐνθέῳ κάλλει, θείως καλλυνόμενοι, διό σου παναμώμητε, τὸν περίκλυτον τοῦτον, Ναὸν ἐν γῇ ἀνηγείραντο, οἱ σοὶ Θεοφόροι θεράποντες.

Ὠδὴ γ'. τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ποθοῦντες τυχεῖν τῶν οὐρανίων, τερπνῶν καὶ ἀῤῥήτων ἀγαθῶν, σπηλαίῳ ἐνῳκήσατε, μόνῳ Θεῷ προσέχοντες, Πατέρες πανσεβάσμιοι, ὧν νῦν τυχόντες ἀγάλλεσθε.

Ἠλίαν ζηλοῦντες τὸν Προφήτην, καὶ τρίβοις ταῖς θείαις ἁπλανῶς, τοῦ Βαπτιστοῦ ἑπόμενοι, Πατέρες οὐρανόφρονες, τὸν βίον διηνύσατε, ἐνθέως πάντα ἀοίδιμοι.

Προβάτειον ὄρος ἡγιάσθη, Ὁσίων τοῖς βήμασι τριῶν, ἐκεῖ γὰρ κατεπάτησαν, τὴν κεφαλὴν τοῦ ὄφεως, τοῦ ἐν ἐδὲμ τὸ πρόταρον, Ἀδὰμ καὶ Εὔαν πτερνήσαντος.

Θεοτοκίον.

Ἐξ ὕψους τοῦ ὄρους καθεώρων, ἐν ἄλσει τῷ σύνεγγυς νυκτὸς, φῶς ἀπαστράπτον Πάναγνε, ὡς Μωϋσῆς ἐν ὄρει Σινᾷ, ἔνθα εἰκόνα εὕραντο, σοῦ τῆς Θεοτόκου οἱ Ὅσιοι.

Ἕτερος. Ὁ σερεώσας κατ' ἀργάς.

Δαβιτικῶς τοὺς ὀφθαλμοὺς, εἰς τὰ οὐράνια ὄρη, τῆς ψυχῆς ὑμῶν Πατέρες ὑψοῦντες, ἐξητεῖσθε ἐκτενῶς, θεόθεν τὴν βοήθειαν, ἧς περ ἐπιτυχόντες, ἰσχὺν δαιμόνων ὠλέσατε.

Ἐπὶ τῶν θείων ἐντολῶν, τὴν ἀῤῥαγῆ Χριστοῦ πέτραν, ἐπεστήσατε ἑδραίως τοὺς πόδας, Θεοφόροι καὶ ὁδὸν, τὴν κατὰ βίον ἅπασαν, ἀπτώτως διελθόντες, ἐν οὐρανοῖς ἐσκηνώσατε.

Ζωὴν θεόφρονες σοφῶς, τὴν κατὰ Κόσμον μισοῦντες, καὶ πτερούμενοι Χριστοῦ τῇ ἀγάπῃ ἡρετίσασθε οἰκεῖν, ἐν ἐρημίᾳ Ὅσιοι, τὴν μακαρίαν ὄντως, ζωὴν πεθοῦντες καὶ ἄληκτον.

Θεοτοκίον.

Ἰσχύν μοι δώρησαι ἀγνὴ, κατὰ παθῶν ὀλεθρίων, καὶ πρεσβειαις σου περίζωσον κράτος, κατ' ἐχθρῶν τῶν νοητῶν, καὶ αἰσθητῶν ἐκλύτρωσαι τῆς ἐπηρείας κόρη, τὸν ἰσχυρὸν ἡ κυήσασα.

Κάθ. ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐν ἀσκήσει ἐκλάμψαντες νοητῶς, ὡς τρισήλια φῶτα ἐπὶ τῆς γῆς, θαύμασιν ἐκλάμπετε, τὰ τῆς Χίου πληρώματα· δι' ὃ ληστὰς βαρβάρους, ἀθέους αἰθίοπας, τῇ Μονῇ προσελθόντας, ὡς ταύτην συλύσοντας, καὶ πρὸς Ναὸν τὸν θεῖον, τὸν ὄντως πανθαύμαστον, ἄνω ἀναβάντας, καὶ ὀρύσσοντας σμύλη, πῦρ ἀθρῶον πέμψαντες, τούτους ἀπετεφρώσατε, καὶ τὸ θαῦμα κηρύττεται, ἕως τοῦ νῦν ἐν τῇ Μονῇ· ἡ γὰρ ὀπὴ τοῦτο δείκνυσιν, ἡ ἐν τῇ γῇ ὁρωμένη πανθαύμαστοι.

Δόξα καὶ νῦν τῆς Ἑορτῆς, ἡ Τὴν Σοφίαν καὶ Λόγον.

Εἶτα Ἀνάγνωσις εἰς τὰ λοιπὰ θαύματα τῆς Θεοτόκου,

Ὠδὴ, δ'. ἀνεξιχνίαστον.

Γνωρίσαι ποθοῦντες τὶ ἄρα τὸ φῶς, σπουδῇ Θεοφόροι ἀπήρξασθε, τὸ ἄλσος καίειν, ἀλλὰ ἔστη θαυμαστῶς ἡ φλὸξ ἡ ὑπερβάλλουσα, τῆς μυρσύνης ὅλως μὴ ψαύσασα.

Πόρρωθεν ὁρῶντες τὸ θαῦμα ὑμεῖς, ἔκθαμβοι γεγόνατε ἅγιοι, ὅτι τῆς μύρτου, οὐ καθήψατο τὸ πῦρ, ἔνθεν τοι προσπελάσαντες, εὕρατε εἰκόνα τὴν ἄχραντον.

Πρὸ τῆς νομικῆς ὀρχούμενος Κιβωτοῦ, πάλαι μὲν Δαβὶδ ὁ Θεόληπτος, ἔψαλλε χαίρων, τῇ εἰκόνι δὲ ὑμεῖς, γονυκλιτοῦντες Ὅσιοι, λίαν ἀσυγκρίτως ἠγάλλεσθε.

Θεοτοκίον.

Ὅτε τὴν εἰκόνα σου εἶδον ἀγνὴ, ἡδονῆς ἀφάτου ἐπλήσθησαν, καὶ εὐφροσύνης, οἱ θεράποντες οἱ σοὶ, ὑμνοῦντες καὶ δοξάζοντες, τὴν σὴν πρὸς αὐτοὺς θείαν πρόνοιαν.

Ἕτερος. Σύ μου ἰσχὺς Κύριε.

Ἱερῶς νῷ, Θεῷ Πατέρες ἑνούμενοι, τῷ ἀΰλως, ψυχαῖς ἐμβατεύοντι, ταῖς καθαραῖς καὶ τῶν ἀρετῶν, κατηγλαϊσμέναις, ταῖς λαμπηδόσι μακάριοι, προέγνωτε τὰ πόρρω, ὡς παρόντα βεβαίως, καὶ ἐκ τούτου τοῖς πᾶσιν ἐγνώσθητε.

Θεὸς ἡμᾶς, δοξάσας θαύμασι ἔδειξεν, ἐν τῷ Κόσμῳ, καὶ σαφῶς ἐγνώρισε, Νικῆτα μάκαρ σὺν Ἰωσὴφ, καὶ τῷ Ἰωάννῃ, καὶ ἰδιώταις καὶ ἄρχουσι, πρὸς δὲ καὶ βασιλεῦσιν, ὡς Προφήτας ἐνθέους, τῶν μελλόντων Πατέρες, θεσπέσιοι.

Ἰλὺν παθῶν, ἀποξηράναντες πρότερον, ἐν ἀσκήσει, θεῖοι κακουχούμενοι, καὶ ἀπαθείας τῷ ἁγνισμῷ, ὅλως ἁγνισθέντες, καὶ ἀρετῶν ταῖς ἐλλάμψεσι, τὸν νοῦν καταυγασθέντες, ἐσομένων τὴν γνῶσιν, Θεοφόροι θεόθεν ἐδέξασθε.

Θεοτοκίον.

Κλίμαξ σὺ εἶ, ἄχραντε, ἣν ἐθεάσατο, τεταμένην, γῆθεν πρὸς οὐράνια, ὁ Ἰακὼβ πάλαι μυστικῶς, δι' ἧς οὐρανόθεν, εἰς γῆν κατῆλθεν ὁ Ὕψιστος, καὶ ἔσωσεν εὐσπλάγχνως τῶν ἀνθρώπων τὸ γένος καὶ πρὸς ἔνθεον δόξαν ἀνήγαγεν.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ἐνθέως πανάχραντε, καὶ εὐλαβῶς κατέχοντες, τὴν σὴν πανσεβάσμιον εἰκόνα, καὶ εἰς τὸ ὄρος ἀναβραμόντες σπουδῇ, ἀπέθεντο ἐν τῷ ἑαυτῶν, σπηλαίῳ γηθόμενοι, ὥσπερ θεῖον κειμήλιον.

Χαρᾶς ἐνεπλήσθητε, ἀῤῥήτου, ὦ θειότατοι, Πατέρες ἐπὶ τῇ ἀνευρέσει, τοῦ θείου τύπου τῆς θεοτόκου ἁγνῆς, νυκτὸς δ' ἀπιόντος ἀφ' ὑμῶν, ὅλη μετεβάλλετο, ἡ χαρὰ εἰς κατήφειαν.

Ἱρέτισας τέμενος, Παρθένε, δομηθῆναί σοι, ἔνθα ἡ εἰκὼν ἡ σὴ εὑρέθη, ἡ θεία ὄντως, δι' ὃ οὐχ ἅπαξ καὶ δὶς, ὦ θαῦμα φρικτὸν, ἀποχωρεῖ, τοῦ σπηλαίου θέουσα, εἰς τὴν μύρτον τὴν θάλλουσαν.

Θεοτοκίον.

Ἐξέστησαν, ὅτε σου, τὸ τῆς μορφῆς εἰκόνισμα, παρθένε, οἱ ἅγιοι ἑώρων, ἐπὶ τῷ θάλλει τῷ τῆς μυῤῥίνης καὶ πῶς, ὡς ἔμπνουν ἐχρήσατο φυγῇ, ἀποροῦντες ἔκραζον, μέγα θαῦμα ὃ γέγονεν.

Ἕτερος. Ἵνα τί με ἀπώσω.

Κεκρυμμένοι σπηλαίῳ, πρὸς τοὺς ἐγκοσμίους διάγοντες ἄγνωστοι, θαῦμα μέγα θεῖοι, πῶς λαμπροὶ καὶ ἐπίσημοι ὤφθητε· τῆς γὰρ βασιλείας, τῇ ἀσφαλεῖ προαγορεύσει· βασιλεῦσι καὶ πᾶσιν ἐγνώσθητε.

Λύχνοι τὸν Μονομάχον, προφητείας τῷ φέγγει φωτίζοντες, ὤρθητε Πατέρες, προδηλοῦντες ἀλλήλων τὴν δήλωσιν, ὅτι πάντως ἕξει, παρὰ Θεοῦ τὴν Βασιλείαν, καὶ ἀχλὺν τὴν τῆς λύπης ἐλύσατε.

Μετ' αἰδοῦς τε καὶ πόθου, τὸν αὐτοῦ δακτύλιον ὑμῖν παρέσχετο, ἀσφαλείας χάριν, Θεοφόροι Πατέρες καὶ σύμβολον, τῶν ὑπεσχημένων, ὁ Κωνσταντῖνος ὡς εὐγνώμων, πρὸς ὑμᾶς ὦ τριὰς Θεοδόξαστε.

Θεοτοκίον.

Ἡδονῆς μοι ἀφάτου, πρόξενος καθίσταται ὁ θεῖος οἶκός σου, ἄχραντε παρθένε, ὃν οἱ θεῖοι πατέρες ἀνήγειραν, μεγαλοπρεπείας, βασιλικῆς ὑπάρχων ἔργον, καὶ χειρὸς φιλοτίμου κατόρθωμα.

Ὠδὴ ς'. Τὴν θείαν ταύτην.

Τίς ἂν ἀξίως ὑμνήσειε, τοὺς πόνους οὓς ὑμεῖς ὑπεμείνατε, Πατέρες τίμιοι, ὅπως Ναὸν τὸν περίκλυτον δομήσητε πρὸς δόξαν τῆς Θεομήτορος.

Ἐκ νήσου Χίου ἀπάραντες, πρὸς Λέσβον τὴν πλησίον ἐδράμετε, νεύσει τῇ κρείττονι, ἵνα σαφῶς προφητεύσητε, τῷ Μονομάχῳ πάντα τὰ γενησόμενα.

Ἐν ὕψει λάμποντες ἅγιοι, ἐνθέου πολιτείας προέγνωτε, νοῦ καθαρότητι, καὶ προηγγείλατε χάριτι, περὶ ἀρχῆς τῶν ὅλων καὶ διαδήματος.

Θεοτοκίον.

Ἁγνὴ Παρθένε Θεόνυμφε, ἡ Δέσποινα ἁπάσης τῆς Κτίσεως, ἣν περ ηὐδόκησας, Μονὴν ἐνταῦθα γενέσθαι, σοι, ἐξ ἐπηρείας πάσης σῶζε πρεσβείαις σου.

Ἕτερος. Ἱλάσθητι μοι Σωτήρ.

Νόμοις Χριστοῦ ἱερεῖς, ὑπείκοντες πανσεβάσμιοι, νόμος σεπτὸς καὶ κανὼν, καὶ θεῖον ὑπόδειγμα, ἀσκήσεως ὤφθητε, καὶ μονήρους βίου, θεία ὄντως διατύπωσις.

Ξενώσαντες ἑαυτοὺς, τῶν ἐπὶ γῆς οὐρανόφρονες, καὶ τὰ ἐν βίῳ τερπνὰ, σοφῶς καταλείψαντες, Θεῷ ᾠκειώθητε, Ὅσιοι Πατέρες διὰ βίου καθαρότητα.

Οἶκος τῷ πάντων Θεῷ, καὶ ἱερὸν ἐνδιαίτημα, κτισθέντες τῶν ἀρετῶν τοῖς λίθοις μακάριοι, Ναὸν χειροποίητον, ἀνεγεῖραι θεῖον, τῇ παρθένῳ ἠξιώθητε.

Θεοτοκίον.

Φωνῆς τῶν σῶν οἰκετῶν, ἐπάκουσον, Παναμώμητε, τῶν εὐλαβείᾳ ψυχῆς, καὶ πόθῳ βοώντων σοι, ἐν Ναῷ τῆς δόξης σου, πρὸ τῆς σῆς εἰκόνος, καὶ παράσχου τὰ αἰτήματα.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ἀγρὸν, τρεῖς ὅσιοι, Κυρίου γεωργήσαντες, στάχυν πολύχουν ἐν ἱδρῶσιν ἐθερίσατε, ἀρετῶν τὰ δράγματα ἐν ἄλωνι θέντες· ἐγκρατείας δὲ λικμῷ τὸ σίτου ἄχυρον, ἀφελόντες, εἰς ταμεῖα τόνδ' οὐράνια, ἐφυλάξασθε, πρὸς τροφὴν ἀδαπάνητον.

Ὡς ἄγγελοι ἐπίγειοι, καὶ ἄνθρωποι οὐράνιοι, ἐπὶ τῆς γῆς οἰκοῦντες μακάριοι, ἐφάμιλλον αὐτοῖς τὸν Βίον διηνύσατε, σκύβαλα πάντα κατὰ Παῦλον ἡγησάμενοι· ὅθεν καὶ τὸν ὕμνον ἐπάξιον μέλποντες ὑμῖν βοῶμεν· χαίρετε, δι' ὧν ὁ Χριστὸς ἐδοξάσθη. Χαίρετε, δι' ὧν ὁ ἐχθρὸς κατηισχύνθη. Χαίρετε, τῶν μοναστῶν ἡ κρηπὶς, καὶ τὸ στήριγμα. Χαίρετε, τῶν μιγάδων ἀρετῆς τὸ ὑπόδειγμα. Χαίρετε, ὅτι περιβόητον Μονὴν ἀνεδείμασθε ἐν γῇ. Χαίρετε, ὅτι Ναὸν περικαλλῆ, ἐκ βάθρων ἠγείρατε ἐν αὐτῇ. Χαίρετε οἱ ἐν Σπηλαίῳ διὰ βίου οἰκοῦντες. Χαίρετε, οἱ μετὰ τέλος τοῖς ἀγγέλοις συνόντες. Χαίρετε, οἱ τῷ Μονομάχῳ τὰ μέλλοντα ἐξειπόντες. Χαίρετε οἱ τρυφὰς κοσμικὰς ἀθετοῦντες πρὸς τρυφὴν ἀδαπάνητον.

ΜΗΝΙ ΜΑΙΩ, Κ'.

ΜΝΗΜΗ ΤΩΝ ΟΣΙΩΝ

ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΝΙΚΗΤΑ, ΙΩΑΝΝΟΥ, καὶ ΙΩΣΗΦ

Τῶν ἐν τῇ Νήσῳ Χίῳ ἀσκησάντων.

Νικήτᾳ.

Ν' κην νικήσας, ὦ Νικήτα πρὸς κόσμον,
Τρόπαια ἤρας ἐν πόλῳ στεφηφόρος·

Ἰωάννῃ.

Νικήτα σύμπλους ἦσθα, ὦ Ἰωάννη,
Μεθ' οὗ ἐν ὅρμῳ εὐπλοεῖς γαληνίῳ

Ἰωσήφ.

Πρῶτος μοναστῶν, ὕστερος δὲ τῶν δύω,
Ἔχεις, Ἰωσὴφ ἐκ Θεοῦ τρίτον γέρας.

Εἰκάδι τήν δε Χίος δοξάζει τριττὺν, ἐσαεί.

Οἱ Τρισμακάριοι οὗτοι, καὶ θειότατοι Πατέρες καὶ ἀσκηταὶ, ὑπῆρχον ἐν τοῖς χρόνοις Μιχαὴλ τοῦ Παφλαγῶνος, καὶ τοῦ Καλαφάτου Μιχαὴλ τοῖν βασιλέοιν· διέτεινε δὲ ἡ ζωὴ τούτων καὶ μέχρι Κωνσταντίνου τοῦ Μονομάχου, καὶ Θεοδώρας, καὶ Ζωῆς τῶν βασιλίδων, ἐκ ταύτης τῆς Νήσου ὁρμώμενοι, (α) καὶ ἀ-

(α) Ἄδηλον ἐκ τίνος μέρους ἦσαν τῆς Χίου.

σκοῦντες ἅμα οἱ τρεῖς, ἔν τινι τῶν ὀρέων τῆς Νήσου, καλουμένῳ Πρεβάτιμ, χιλίων ἤδη ἐτῶν παραῤῥυέντων, ἀπὸ τῆς τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν, πρὸς ἀνθρώπους ἐπιδημίας· οὗτοι τοίνυν οἱ ὀρεσίτροφοι, καὶ τῆς ἁγίας Τριάδος ἐρασταὶ, καὶ εἰκόνες, κατὰ τὴν τῶν ἀρετῶν ὁμοιότητα, ὡς δυνατὸν ἀνθρώπῳ, τῇ ἐρημικῇ καὶ ἀγγελοπρεπεῖ διαγωγῇ λιπαρῶς ἐνήθλουν, τῆς προσύλου καὶ ἐγκοσμίου διαγωγῆς, ὅσον τοῦ οὐρανοῦ γῆ ἀφίσταται ἀφιστάμενοι, καὶ πρὸς τὰς τῶν ὑπὲρ νεφῶν ἀρετῶν μετουσίας τὴν ψυχὴν, ῥυθμιζόμενοί τε καὶ ἐγγυμναζόμενοι, σπηλαίῳ τινὶ ὄρους ὑπερτάτου, καὶ ὑπερανεσηκότος ἐποψίου τῆς Μονῆς, καὶ οἰκήσεως τῆς Ὑπεραγίας Θεοτόκου ἐνεδρεύοντες, καὶ τῷ ὄρει ἐκείνῳ νεμόμενοι, εἱρμῷ τινὶ ἀπαραβάτῳ, πρὸς μόνον τὸ πέρας τῆς αἰωνίου καὶ ἀλήκτου μακαριότητος συννεύοντες· τά τε ἐν ποσὶν ἀτιμάζοντες, καὶ τὸν οὐρανὸν τῇ θέᾳ περιπολοῦντες, καὶ τὸν ἀγείρω Κόσμον κατὰ νοῦν ἀναπολοῦντες, τῆς τ'ἀθανάτου φύσεως, καὶ τῆς τοῦ σώματος ἀγχιστείας, τὴν τῆς ψυχῆς προτάξαντες· τριὰς ἀληθῶς Ὁσίων διανοίας ὀξύτητι δεδορκυῖα τὰ ὑψηλὰ, καὶ εἰς τὴν τοῦ μεγάλου Ἀντωνίου, τὴν πάνυ ἀσκητικὴν διαγωγὴν, κομιδῇ ἀπηκριβωμένη, διὰ τῆς ἑβδομάδος ἀρτοσιτοῦσα καὶ ὑδροποτοῦσα· μικρόν τι χαμευνοῦσα, τὸ δ' ὅλον εἰς παννυχίους, καὶ πανημερίους εὐχὰς, οὕτω προβαίνουσα, ὥστε μηδὲ μέχρι βλεφάρων σπένδεσθαι τῷ ὕπνῳ· κρυστάλοις καὶ πνεύμασι καὶ νηφετοῖς προσταρασσομένη, διὰ τὸν πρὸς Θεὸν ἔρωτα· οὕτως ἄρα οἱ παμφαεῖς τῆς ἐπουρανίου ἀσκήσεως λαμπτῆρες ἀσκοῦντες, ἐν τῷ εἰρημένῳ ὄρει, πολλάκις ἐπεὶ νὺξ ἐπήρχετο, ἐν τῷ σύνεγγυς τῆς ὑπωρείας κειμένῳ καταντικρὺ ἄλσει, φῶς ἑώρων καταλάμπον· κατιόντων δὲ, καὶ τῷ πυραυγεῖ καὶ ἀποστίλβοντι πρὸς τὸν νυκτερήσιον ζόφον φωτὶ, προσπελάσαι προθυμουμένων, ὥς ποτε Μωϋσῆς ὁ Θεόπτης, τὸ φῶς ἐκ τοῦ μέσου ἀπείη καὶ ὤχετο, ὅθεν κατατεθαμβημένοι καὶ τεθηπότες, οὐχ

ἧττον περὶ τῆς ἀπουσίας, ἢ τῆς παρουσίας, τῆς φωσφόρου ἐλλάμψεως, δεῖν ἔγνωσαν, ὅλον καταίθειν τὸ ἄλσος, καὶ δὴ καίειν ἀπῆρξαντο, εἰς νοῦν τοῦτο θέμενοι, ὡς εἰ ἐκ Θεοῦ τὸ φαινόμενον φῶς ἐστί, πάντως διὰ τῆς ὑλώδους φλογὸς, ὁ τόπος οὐ καταφλεχθήσεται, ὅθεν τὸ φαινόμενον φῶς διέξεισι. Καισμένων τοίνυν ἁπάντων τῶν φυτῶν, τῆς συνηρεφοῦς ἐκείνης νάπης, ἧς τὸ πῦρ κατεδραμε, μυῤῥίνη μηδὲν τῆς ἀκαταφλέκτου ἀπεικυῖα βάτου, ἀπήμαντος ἔμεινε, τῆς ἀπομαρανθείσης ἐν ἐκείνῃ φλογὸς, μὴ δυνηθείσης ὅλως τὴν λιβάδα καὶ τὸ νοτερὸν ἐκείνης σιτίσασθαι· τὴν δ' ἐπισῦσαν πύρωσιν λήξασαν, οἱ παναοίδιμοι Πατέρες ὁρῶντες, καὶ τὴν Μύρτον πόῤῥωθεν ὀπτανόμενοι ἄφλεκτον, εἰς τὴν νάπην εἰσιᾶσι καὶ προσίεσαν, καὶ ὁρῶσι τὴν Μύρτον παντοίας καπνώδους, καὶ λιγνώδους ἀπηλλαγμένην περιδράξεως τοῦ ἐπικαύματος εἰκόνι δὲ τῆς Θεομήτορος ἐνατενίζουσι, τοῦ κλάδου τῆς μυρτίνης ἐξηρτημένῃ, ἧς τὸ πῦρ οὐ κατενεμήθη, μὴ ὅμως τὸ μονογενὲς, βρέφος ἐνηγκαλισμένῃ, τότε δὴ μετὰ πολλῆς αἰδοῦς καὶ τέρψεως ἱέντες, παρθενικὰς ὑμνῳδίας ἀνέμελπον, καὶ ἐπωμάδιον τὴν εἰκόνα ἀράμενοι, εἰς τὸ ἑαυτῶν ἐκομίσαντο σπήλαιον· ἡ δ' εἰκὼν ἀποχωροῦσα τοῦ σπηλαίου, τῷ θάλλει τῆς Μυῤῥίνης προσήπτετο· ὅθεν οἱ μέγιστοι οὗτοι καὶ θεῖοι ἀσκηταὶ, ἰδιοχείρως νεοποιοῦντες, ὡς ἡ δύναμις, Σηκὸν σμικρότατον πάνυ δομησάμενοι, τοῦτον τῇ Θεομήτορι ἀφωσιώσαντο, σύνεγγυς τῆς Μυῤῥίνης κείμενον· καὶ παιανίζουσι χαριστήρια, καὶ ὑμνοῦσι εὐχαριστήρια, καὶ κροτοῦσι σωτήρια. Τότε δὴ τότε, καὶ Κωνσταντῖνος ὁ Μονομάχος, τῇ ἐπιταγῇ τοῦ Βασιλέως Μιχαὴλ τοῦ Παφλαγῶνος, ἀπῳκισμένος ἦν τοῦ Βυζαντίου, καὶ πρὸς Λέσβον τὴν Νῆσον ἐξόριστος. Θεόθεν δὲ οἱ θεῖοι Πατέρες ὡς τῆς Βασιλείας, ὅσον οὔπω μέλλει κρατῆσαι μαθόντες, ὁ θεῖος Νικήτας, σὺν τῷ Ἰωσὴφ πρὸς Λέσβον ἀπαίρουσι, καὶ τῷ Μονομάχῳ συγγίνονται, καὶ εἰς τέρψιν τὴν λύπην

τούτου ἐπειρῶντο μεταῤῥυθμίζειν, τῷ ἐκείνῳ τὴν Βασιλείαν καταφοιβάζειν, ἧς ὅσον οὔπω μεταποιήσεσθαι ἐμελλε, διὰ τοῦ πανάλκεστάτου καὶ ἀναιρέτου τῶν δεινῶν Θεοῦ· (ἦσαν γὰρ ὡς ἔφθην εἰπὼν ἐκείνην προφητικῶς ἐνοπτριζόμενοι). Ὁ δὲ Μονομάχος, οὐ μόνον μὴ ἐπιτυχεῖν κατὰ τὴν τῶν Ὁσίων πρόῤῥησιν, (ὡς παρὰ δοξολογίαν εἶναι οἰόμενος), ἀλλὰ μήτε τῶν ἐπικρεμασθέντων οἱ δεινῶν, μήτε τοῦ ἐπηρτημένου ἐσχάτου κινδύνου ἀπαλλαγήσεσθαι, (ἐφ' ᾧ προσανακλάεσθαι τοῖς κακοῖς ἐκκείμενος) ἔρασκεν. Οἱ δὲ Πατέρες αὖ πάλιν, ἀνθίσταντο τῇ δόξῃ τοῦ Μονομάχου, τὴν ἀχθηδόνα ἀνακαλούμενοι· ὅλεν ἄντικρυς θάῤῥει, ἔφασαν, ὦ Δέσποτα καὶ ἡδίους τὰς ἐλπίδας ἔχε, ὅτι τῆς Βασιλείας τάχιστα ὑπὸ τοῦ εὐεργέτου σοὶ Θεοῦ προσγενησομένης, ἐπαντίῤῥοπος εὐφροσύνη τῆς λύπης ἔσται σοι, καὶ ἔστω σοι νῦν, ἀκεσώδυνον τὸ οἰώνισμα, ὑπὸ Θεοῦ ἡμῖν ἀποκεκαλυμμένον. Τότε δὴ ὁ Κωνσταντῖνος ψυχαγωγούμενος καὶ παραθαῤῥυνόμενος, τῇ τῶν θείων Πατέρων προῤῥήσει, ὡς μὴ ἐξ ἐπιτεχνίας καὶ ὑπουλότητος μηχανορράφου, ἀλλ' ἁπλότητος τοὺς λόγους διατιθεμένων, κἀκεῖθεν γλυκυθυμίας αἰσθανόμενος, καὶ πρὸς τὸ ἐπιῤῥέον τῆς λύπης ἀντέχων, ἀλλ' ὦ Πατέρες τῷ Θεῷ πολυ ἐμητοι, ἔφη, εἰ εὐπραγήσω, ὡς ὑμεῖς μοι μοὶ προκαταγγέλλετε, συλλήβδην, ὧν ἂν βουληθῆτε εὐεργετημάτων, ἐντὸς γενήσεσθε. Αὖθις δ' οἱ Πατέρες ἀμοιβαίοις λόγοις τὸν ἀπόλογον συμπλέξαντες, ἑνὸς, ὦ μέγιστε Αὐτοκράτορ, ἔφασαν, ἐπιδεῶς ἔχομεν· ἐμφανίσαντες αὐτῷ, καὶ λαμπρολογήσαντες, τότε τῆς εἰκόνος, καὶ τῆς ἀκαοῦς μυῤῥίνης μέγα θαῦμα, ἣν καταλυμήνασθαι, ὥσπερ τ' ἄλλα τῶν πέριξ φυτῶν, οὐκ ἴσχυσεν ἡ ὑπερβάλλουσα φλόξ, ἢ διακαῦσαι, ἢ ὅλως καπνίσαι· καὶ ἔτι τὸ λαμπρὸν καὶ παμφαῖνον φῶς· καὶ τὸ κατὰ τὴν βάτον ὅραμα, κατὰ τὸν Μωϋσῆν, (διαβὰς γὰρ ἔφη, τὸ ὅραμα τοῦτο ὄψομαι). Τί δὲ τὸ ἐν ἐκεῖνο; Νασῦ ἔφασαν, ἡ εἰκὼν χρήζει, εὐρυχώρου, ὑψηλοῦ καὶ πολυμόρφου, μετὰ καλλίστης τέ-

χνης καὶ Βασιλικῆς φιλοτιμίας, (Βασιλικὸν γὰρ μέλλει τὸ ἀνάθημα ἔσεσθαι)· καὶ τοίχοις ἐρυμνοῖς ὠχυρωμένου, πρέπει γὰρ τῇ τοιᾷδε εἰκόνι, τοιόνδε τέμενος. Τότε αὖθις ὁ Μονομάχος, εἰ ἐγκρατὴς, ἔφη, τῆς Βασιλείας· (ὡς ὑμεῖς φατὲ γενήσομαι), ἀμέλει, ὦ Μοναχικὴ τριὰς, τῷ Μωϋσῇ εἰκαζομένη, τῶν ἀσκητῶν ἐγκαλλώπισμα, εὐμενῶς ἐκ τῶν ἡμῶν εὐεργεσιῶν διατεθήσεσθε, καὶ ὁ Νεὼς τῆς Πανάγνου μου καὶ Ἀχηράτου Θεομήτορος, ἀμείνω ἕξει τῆς ὑμετέρας ἐλπίδος τὴν ἐναρμόνιον σύνθεσιν· οἱ δὲ Πατέρες ἐναργεστέραν καὶ βεβαιοτέραν ἠτοῦντο τὴν τοῦ Μονομάχου ὑπόσχεσιν· ὅθεν τὸν συμαντῆρα αὐτοῦ δακτύλιον, ὡς ἐνέχειρον αὐτοῖς ἐπιδέδωκεν. Ἐπὶ ταύταις οὖν ταῖς ὑποσχέσεσιν οἱ θεῖοι Πατέρες, πρὸς τὴν ἐνεγκαμένην ἐπανῆκον. Οὐ μακροῦ δ' ὕστερον παραδραμόντος τοῦ χρόνου, καὶ τοῖν δυοῖν Βασιλέοιν θανόντοιν, ἡ Βασίλισσα Ζωὴ τῶν σκήπτρων τῆς Βασιλείας ἐγκρατὴς γενομένη, αὐτίκα τὸν ἄνδρα διὰ τριηρῶν εἰς ἑαυτὴν μεταπέμπεται, καὶ ἀντὶ ἐξορίας καὶ δεσμῶν, τὰ σκῆπτρα αὐτῷ ἐνεχείρισεν, ἄνδρα τοῦτον γνήσιον ἑαυτῆς διὰ τελείου γάμου ποιησαμένη. Ταῦτα δὴ καταμαθόντες οἱ Ὅσιοι ἀσκηταὶ, ὅσον τάχος τὴν Βασιλίδα κατέλαβον, καὶ τῷ Μονομάχῳ ἤδη Βασιλεύοντι προσιᾶσι, τῆς ἐπιτελοῦς ἐπαγγελίας αὐτὸν ὑπομιμνήσκοντες, καὶ τὸ τῆς μνήμης σύμβολον ἐπιδυκνύντες τὸν δακτύλιον· τῇ ἱκετηρίᾳ ἐνεδίδοντο δυσωπούμενοι τοῦ τε Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, καὶ τῆς ὑπεράγνου Μητρὸς ὡς εὐμενῶν καὶ ἠπίων ἐπιτυχεῖν, κἀκτῶν ἑνόντων ἐξευμενίσασθαι. Ὁ δὲ ὑπέμνησέ με, φησὶν, ὁ δακτύλιος (α). Εὐθὺς οὖν πέμπει τὸν τῆς οἰκοδομητικῆς κορυφαῖον καὶ ἀρχιτέκτονα, καὶ ἄλλους τὰ δεύτερα μεταποιουμένους καλλιτεχνίας, συνεπαγόμενον, Νεὼν τῇ Θεοτόκῳ οἰκο-

(α) Διερθαρμένον δοκεῖ τὸ χωρίον, ὅθεν καὶ ἄπορον. Ν. Μεταλλαξάμενος τὰς φράσεις; καὶ στίξει; ἐποιησάμην εὐπροσιτώτερον. Γ. Φ.

δομήσοντας· πέμπει δὲ καὶ πολλοὺς μαρμαρίνους στύλους, πάνυ διαφανεῖς· ἀλλὰ δὴ καὶ πορφυρόχροα μάρμαρα, ἐσοπτρώδη καὶ διαφανῆ· καὶ ἄλλα πρὸς τὴν Βασιλικὴν οἰκοδομὴν φέροντα. Ἔχονται δὲ τῆς ἐπιδημίας, καὶ τῷ τῆς Χίου προσχόντες λιμένι, καὶ ἐξελθόντες, φιλοπόνως ἄγαν καὶ πρυθύμως, ἰχνηλατοῦσι τὰ πρὸς τὴν πανυπερτάτην καὶ εὐμεγέθη οἰκοδόμησιν συντείνοντα. Ὠκοδόμηται δὲ δωδεκαετίαν ταῖς Βασιλικαῖς μισθοφοραῖς καὶ δαπάναις, τοῦ Βασιλέως ἔτι ζῶντος, καὶ ὅσον εἰς καλλιτεχνίαν καὶ εὐαρμοστίαν (α) ἐξήσκηται, καὶ ἴσα ταῖς πρωτίσταις οἰκοδομαῖς τῶν ἑπτὰ θεαμάτων τετίμηται, κομιδῇ χαριέντως τὸν ἱερὸν σηκὸν τῶν οἰκοδόμων δειμαμένων. Μετὰ δὲ τὴν δωδεκαετίαν, τοῦ Βασιλέως ὁσίῳ τέλει τὸν βίον καταλύσαντος, ἀλλὰ δὴ καὶ τῆς Ζωῆς πρὸ αὐτοῦ, ἡ οἰκοδομὴ πρὸς ὀλίγον ἐπαύσατο. Ἀλλ' οὖν ἔρως θεῖος τῇ ἀδελφῇ τῆς Βασιλίδος Ζωῆς (τῇ Θεοδώρᾳ φημὶ) ἐγγίνεται, τὸ ἐνδέον τῇ θείᾳ οἰκοδομῇ μεγαλοπρεπῶς προσθῆναι· καὶ δὴ εἰς τέλος ἐξέβη, τὸ λοιπὸν οἰκοδόμημα, ἄριστον καὶ πολυήρατον. Ἐν δὲ τῷ δευτέρῳ ἔτει τοῦ Ναοῦ οἰκοδομουμένου, ὁ πανεύφημος Βασιλεὺς, χορηγίας καὶ ἐπικουρίας, καὶ πόρους κερδώους, καὶ δαψιλεῖς ἀφοσιώσατο, πρὸς τὰς ζωοτροφίας τῶν Μοναχῶν συντελοῦντας, (β) τότε χωρίον τοῦ Μεγαλομάρτυρος Γεωργίου, τοῦ ἐπιλεγομένου Συκοῦντος, ὡς ἐν τῷ τῆς Νόστρας Ντόνας (γ) προνο-

(α) Τὰ ἑξῆς δὲν ἐμεταφράσθησαν, ἐπειδὴ ὅλα ταῦτα, ἂ διὰ βραχέων καὶ συνεπτυγμένως, καὶ σκοτεινῶς λέγει, ἔχομεν νὰ τὰ ἐξετάσωμεν ἔμπροσθεν, κατὰ πλάτος καὶ ἀνεπτυγμένως καὶ καθαρῶς.

(β) Σημείωσαι ὅτι οὐχ ἁπλῶς, ἀλλ' ὅσον εἰς καλλιτεχνίαν καὶ εὐαρμοστίαν τετίμηται ἴσα ταῖς θαυμασταῖς ἐκείναις οἰκοδομαῖς.

(γ) Δόννα, γυνὴ ἑρμηνεύεται· καὶ Νόστρα Δόννα ἡμετέρα γυνή· κατ' ἐξοχὴν δὲ λέγομεν ἐπὶ τῆς ἁγιωτάτης παρθένου

μίῳ διαχαρακτηρίζεται. Μετοχὰς λιμήρεις, ἐντελόμιστα, οἰκιῶν φοροθεσίας, τελῶν ἀπαλλαγὰς, καὶ ἄλλας μισθαρνίας, καὶ εἰσφορὰς, καὶ ἀταραξίας, καὶ ἀναπαύλας, ἔκ τε τῆς ἀνατολῆς καὶ τῆς δύσεως, τῶν σιτηγῶν τόπων σιταγωγίας, αὐτονομίας, ἐκ πάσης αὐτοκρατορίας ἔδωκε (α)· μόνου τοῦ Ἡγουμένου τὰ τῶν Μοναχῶν διέποντός τε καὶ διϋθύνοντος· αὐτόνομόν τε καὶ αὐτοδέσποτον τὴν Μονὴν ἀποφήνας, ὡς τὰ τριττὰ τῶν προνομίων δηλοῖ, ὑπὸ τῶν μετέπειτα Βασιλέων κεκυρωμένα· Ἰσαακίου δηλονότι τοῦ Κομνηνοῦ, καὶ Κωνσταντίνου τοῦ Δούκα, καὶ Ῥωμανοῦ τοῦ Διογένους, καὶ Μιχαὴλ τοῦ Δούκα, καὶ Νικηφόρου τοῦ Βοτανειάτου, καὶ Ἀνδρονίκου τοῦ Παλαιολόγου, καὶ ἑτέρων κατιόντων· καὶ οἰκείοις ἔτι προνομίοις ἐπισφραγισαμένων τὰ τριττὰ προνόμια. Προσέτι παρεκελεύσατο, μηδένα τῶν ἀποίκων, ἐν τῇ Μονῇ οἰκουρεῖν, καὶ ἰδίαν ἔχειν οἴκησιν, ἀλλὰ μήτε γύναιον μηδόλως εἰσιέναι ἔνδον τῆς Μονῆς, ἢ αὐτοῦ τοῦ Ναοῦ ἀπεφήναντο, ὡς ἡ παλαιὰ δηλοῖ συνήθεια. Μετὰ δέ τινας χρόνους ἀνεπαύσαντο ἐν Κυρίῳ ἐν διαφόροις

Μητρὸς τοῦ Θεοῦ, (ἐκ τοῦ λεξικοῦ τῆς Κρούσκας) Νόστρα Ντόνα λοιπὸν ἡ ἁγία Παρθένος, ἢ ἡ Θεομήτωρ Μαρία· ἐνταῦθα δὲ Νόστραν Ντόναν ἐννοεῖ. Ναὸν τῆς Θεοτόκου, ἐν τῇ πόλει τῆς Χίου, εἰς τὸν ὁποῖον ἦτο μονήδριον γυναικῶν τότε, ὡς ἄδεται λόγος· καὶ ἐκ τούτου ὅπερ λέγει, ὅτι τὰ προνόμιά του διελάμβανον, περὶ πραγμάτων τῆς Νέας Μονῆς. Συμπεραίνεται, ὅτι ἦτον ὑποκείμενον εἰς αὐτήν· πλὴν δὲν εἶναι δῆλον πότε τὸ ἐξουσίασαν οἱ Φράγγοι, ὅτε καὶ τὸ ὄνομα ἔλαβε Νόστρα Ντόνα. Τὴν σήμερον ὅμως εἶναι τζαμί. Εἰς αὐτοῦ λοιπὸν τοῦ Ναοῦ καὶ τοῦ μονηδρίου τὸ προνόμιον, φαίνεται ἀφιερωμένον εἰς τὴν ἡμετέραν Μονὴν τὸ χωρίον τοῦ Μεγαλομάρτυρος Γεωργίου, καὶ ἄλλα· πλὴν ἀφ' οὗ ἡ Νόστρα Ντόνα, ἤλλαξε τύχην, καὶ τὸ προνόμιόν της ἔχασε, καὶ εἴ τι ἦτον ἐν αὐτῷ περὶ τῆς Μονῆς ἐχάθη.

(α) Ἐνταῦθα ἀντὶ καὶ αὐτοκρατορίας· διώρθωσον ἐκ πάσης αὐτοκρατορίας ἔδωκε. Γ. Φ.

καιροῖς, καὶ οἱ Μακάριοι Πατέρες· τὰ δὲ τίμια αὐτῶν καὶ ἅγια σώματα, κατέθεντο ἐν τῇ Μονῇ ἔνδον τοῦ Ναοῦ, ἐν τόπῳ λεγομένῳ Φιάλιον, οἱ τούτων φοιτηταὶ καὶ ὀπαδοὶ, ἄχρι τοῦ παρόντος σωζόμενα, καὶ ἀμυντηρίους θαυματουργίας ἐπιτελοῦντα τοῖς μετὰ πίστεως προστρέχουσιν, ὧν ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Ὡς ἐπέγνωτε, τὸν Κωνσταντῖνον Ὅσιοι, τὰ σκῆπτρα δέξασθαι, αὐτῷ ἐλθόντες σπουδῇ, τὸν αὐτοῦ δακτύλιον ἐπεδείκνυετε, ὃς ἀνέμνησε, τῶν ἐν τῇ Λέσβῳ πρότερον, πρὸς ὑμᾶς ἐπηγγελμένων.

Εὐγνωμόνως οὖν, Πατέρες Ὁσιώτατοι, εὐθὺς ἀπέστειλεν, οἰκοδομῆσαι Ναὸν, ὡς ὑμῖν ὑπέσχετο περικαλλέστατον, ὃν ἀνέθετο, τῇ μόνῃ Θεομήτορι, Βασιλείου κράτους δεῖγμα.

Ὁσιώτατοι, Πατέρες καὶ θειότατοι, πόθῳ γεραίρομεν, πόνους ὑμῶν τοὺς πολλοὺς, τῆς θείας ἀσκήσεως, καὶ τοὺς καμάτους δὲ, οὓς ὑπέστητε, κατά τε γῆν καὶ θάλατταν, τῆς Μονῆς ἕνεκα ταύτης.

Θεοτοκίον.

Παναμώμητε, Παρθένε καθικέτευε, ὃν ἐσωμάτωσας, φιλάνθρωπον Ἰησοῦν, φυλάττειν τὴν ποίμνην σου, ἐξ ἐπηρείας τε, καὶ κακώσεως, ἐχθρῶν παντοίων ἵνα σε, ὡς προστάτιδα γεραίρῃ.

Ἕτερος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Ποίαις ἀσμάτων εὐφημίαις, στεφανώσωμεν ἀξίως τοὺς Ὁσίους; τοὺς προστάτας ἡμῶν, καὶ θείους εὐεργέτας, καὶ πρεσβευτὰς πρὸς Κύριον, εὐπροσδέτους εἰς αἰῶνας;

Ῥύσασθε ποίμνην τὴν τιμῶσαν, τὴν πανίερον καὶ θείαν ὑμῶν μνήμην, ἐξ ἐχθρῶν αἰσθητῶν, καὶ νοη-

τῶν Πατέρες, καὶ ἐκ Θεοῦ αἰτήσατε τὴν εἰρήνην εἰς αἰῶνας.

Σῶμα νεκρώσαντες ἐν Κόσμῳ, ἀπελάβετε ζωὴν τὴν αἰωνίαν, Θεορόροι Χριστῷ, συνόντες εἰς αἰῶνας, καὶ σὺν Ἀγγέλοις ψάλλοντες ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὄμματα νοῦν καὶ τὴν καρδίαν, παναμώμητε πρὸς σὲ νῦν ἀνατείνω, πρεσβειῶν σου φωτὶ, ὅλον καταύγασόν με, καὶ πρὸς τὸ θεῖον θέλημα, καθοδήγησον παρθένε.

Ὠδὴ ἡ. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Τύποι καὶ κανόνες ἐν τῇ Χίῳ ἀσκήσεως πρῶτοι ὤφθητε σεβάσμιοι, πάντων γὰρ ἀφέμενοι, καὶ Χριστῷ ἑπόμενοι, ἀύλως τε βιώσαντες, πᾶσιν ἐγνώσθητε, μιγάσι καὶ μονάζουσι στάθμη, θείας πολιτείας καὶ οὐρανίου βίου.

Τριὰς σεβασμία τῶν Ὁσίων, Τριάδα τὴν Παναγίαν ἱκετεύσατε, δοῦναι ἡμῖν ἄφεσιν, τῶν ἁμαρτιῶν ἡμῶν, ὡς παῤῥησίαν ἔχοντες πολλὴν πανεύφημοι δεήσεις πρὸς αὐτὴν ἀναφέρειν, ὑπὲρ τῶν τιμώντων τὴν θείαν ὑμῶν μνήμην.

Θεῖον θησαυρὸν θείων χαρίτων, τὴν λάρνακα τῶν λειψάνων ὑμῶν ἅγιοι, ἔχοντες δοξάζομεν, τὸν ὑμᾶς δοξασαντα, καὶ πίστει ἀσπαζόμενοι ἁγιαζόμεθα· ἡ θεία γὰρ τοῦ Πνεύματος χάρις, μένει ἀχωρίστως, ἐν τοῖς ὑμῶν ὀστέοις.

Θεοτοκίον.

Σύ μου σκέπη εἶ καὶ προστασία, Παρθένε ἁγνὴ, ἀντίληψις καὶ λύτρωσις, τεῖχος καὶ ἀσφάλεια, ὅθεν μεγαλύνω σε, Μονὴ δ' ἡ σὴ κηρύττουσα τὰς δυναστείας σου, πρὸς ἅπαντας, ὅτι ἡ Μύρτος, ἄφλεκτος ἐσώθη, ὥσπερ ἡ βάτος πάλαι.

Ἕτερος. Τὸν ἐν Ὄρει Ἁγίῳ δοξασθέντα.

Τῷ ἀστέκτῳ, νῦν παρεστῶτες θρόνῳ, τῆς Τριάδος, τρισάριθμοι Πατέρες, τῆς τριλαμποῦς πληρούμενοι λαμπρότητος, χαίροντες ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, αὐτὴν εἰς τοὺς αἰῶνας.

Ὑπερφώτου, Τριάδος ταῖς ἀκτῖσι, τῶν Ὁσίων, ἡ τριφεγγὴς χορεία, ἐλλαμπομένη σὺν Ἀγγέλων τάγμασι, θείως γηθομένη, μέλπει ἀσιγήτως, αὐτὴν εἰς τοὺς αἰῶνας.

Φεγγοβόλοις, αὐγαῖς φωτὸς ἀδύτου, τῆς τριφώτου, καὶ τριφεγγοῦς Οὐσίας, Πατέρες θεῖοι καταγλαϊζόμενοι, ᾄδοντες ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, αὐτὴν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥῦσαι ποίμνην, τὴν σοὶ ἀνακειμένην, Θεοτόκε πανύμνητε Ἁγνὴ, ἐκ τῆς ὁρμῆς τοῦ νοητοῦ μου λέοντος, τοῦ ὁρμομένου, καὶ καταπιεῖν με, ζητοῦντος καὶ ὀλέσαι.

Ὠδὴ, Θ'. Ἅπας γηγενής.

Τίς μὴ ἐκπλαγῇ, Πατέρες θειότατοι, τοὺς ὑπὲρ ἄνθρωπον, πόνους τῆς ἀσκήσεως, καὶ τοὺς ἀγῶνας, οὓς διηνύσατε, νηστείαις καὶ δεήσεσιν ἐνασχολούμενοι, ἐνοικοῦντες, φάραγξι χρημνώδεσι, τῷ δὲ πόθῳ τῷ θείῳ πυρούμενοι.

Δέξασθε σεπτοὶ, ᾠδὴν ὑμνητήριον, καὶ καταπέμψατε, τῷ δὲ ἐκπονήσαντι, καὶ τοῖς συμψάλλουσι χάριν ἄνωθεν, ὅπως ὀρθῶς βιώσαντες, ζωὴν αἰώνιον, Θεοφόροι, δι' ἱκεσίων ἡμῶν, πρὸς Χριστοῦ τοῦ Θεοῦ ἀπολαύσωσι.

Δέσποτα Χριστὲ, πρεσβείας δεξάμενος, τῆς κυησάσης σε, καὶ τῶν ἄνω τάξεων, τῶν Ἀποστόλων καὶ τῶν Μαρτύρων σου, Ἱεραρχῶν Ὁσίων τε, ἡμᾶς ἐλέησον, καὶ

παράσχου, ἄφεσιν τοῖς δούλοις σου, τῶν πολλῶν ἐγκλημάτων ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Δέσποινα ἁγνὴ, ὡς πάλαι ἐτήρησας τὴν Μύρτον ἄφλεκτον, οὕτω τὴν Μονὴν τὴν σὴν, φρούρει συντήρει καὶ διαφύλαττε, ἐκ πάσης περιστάσεως ταῖς σαῖς δεήσεσιν, ἵν' ὑμνῶμεν, καὶ πιστῶς δοξάζωμεν, σὲ Παρθένε ἡμῶν προστατεύουσαν.

Ἕτερος. Ἐφριξε πᾶσα ἀκοή.

Χαῖρε σοὶ ἄδω ἐκ ψυχῆς, ὦ τριὰς τῶν ἀσκητῶν θεοσύλλεκτε, καὶ θεοτίμητε, ἡ τὴν Τριάδα τὴν ὁμοούσιον, ἔργοις ἐνθέοις ἱερῶς, βιοῦσα ἐδόξασας, καὶ νῦν ἀπείληφας, τὰ βραβεῖα, τῶν σῶν πόνων ἐπάξια.

Ψάλλων ἐν Πνεύματι Δαβὶδ, τῶν Ὁσίων ὁ θειότατος θάνατος, τίμιος ἔναντι, ἔφη, Κυρίου, καὶ ὁ σοφώτατος, φάσκει δικαίων αἱ ψυχαὶ, χειρὶ ἐνυπάρχουσι, Θεοῦ τοῦ σώζοντος, καὶ οὐ μὴ αὐτῶν καθάψηται βάσανος.

Ὦ σεβασμία μοι τριὰς, ὦ χορεία τῶν Ὁσίων θεόλεκτε, λαμπὰς ἡ τρίφωτος, Τριάδος Θείας, θεῖοι θεράποντες, τῷ ἐγκωμίοις ἱεροῖς, καὶ ὕμνοις δοξάσαντι ὑμᾶς πανεύφημοι, ὀφλημάτων ἐξαιτεῖτε τὴν ἄφεσιν.

Θεοτοκίον.

Οὐκ ἠδυνήθη τῆς φλογὸς, τῆς μυρσύνης τὸ χλοάζον λυμήνασθαι, ἡ ὑπερβάλλουσα, δύναμις κόρη, μόνη πανάχραντε, ὡς οὐδὲ πάλαι ἐν Σινᾷ, τὴν βάτον οὐκ ἔφλεξεν, ἣ προετύπουσε, μυστικῶς τῷ Μωϋσῇ καὶ εἰκόνιζεν.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Τὸν δρόμον διανύσαντες, ἁπλανῶς Θεοφόροι, τῆς ἱερᾶς ἀσκήσεως, πρὸς σκηνώματα θεῖα, ἐφθάσατε καὶ σὺν πᾶσι, τῶν ἁγίων τοῖς δήμοις, ἐνδόξως, ἐσκηνώσατε, καὶ

τρυφῆς τῆς ἀλήκτου, ἐν μετοχῇ, γενόμενοι πάντως τῇ ἀνεκφράστῳ, ἀγάλλεσθε μακάριοι, τῷ Θεῷ παρεστῶτες.

Μετὰ τῆς Θεομήτορος, καὶ Παρθένου Μαρίας, Νικῆτα παμμακάριστε, καὶ Ἰωσὴφ Θεόφρον, σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ Θεῷ παρεστῶτες, τῷ Κόσμῳ τὰ σωτήρια, ἐξαιτεῖτε ἀπαύστως, καὶ τῇ αὐτῶν, ποίμνῃ τὴν ὁμόνοιαν καὶ εἰρήνην, ἣν περιεποιήσασθε ἐν ἀτρύτοις καμάτοις.

Ἦ τὸ τῆς Ἑορτῆς εἰ τύχοι.
Εἰς τοὺς αἴνους στιχ. ἦχος πλ. δ΄.
Ὦ τοῦ παραδόξου θαύματος.

Πάτερ Νικῆτα Μακάριε, σὺ ὄντως Νίκη Θεοῦ, ἐπαξίως ὠνόμασαι, ὡς νικήσας Ὅσιε, τοὺς ἀσάρκους ὁ ἔνσαρκος· τὸν γὰρ σταυρόν σου, ἀναλαβόμενος, τῷ θείῳ λόγῳ κατηκολούθησας, ἔχων ἀκλόνητον, τὴν ψυχὴν καὶ ἄκαμπτον πρὸς πειρασμούς, τοὺς ἐπαγομένους σοι, ἐξ ἀοράτων ἐχθρῶν.

Ὦ Ἰωάννη Θεόσοφε, τῶν ἀρετῶν ἡ κρηπὶς, Μοναζόντων τὸ καύχημα, τῆς ἐνθέου χάριτος, ἐπαξίως ἐπώνυμος, ὁ τοῦ Προδρόμου, τοῖς θείοις ἴχνεσιν, ἀκολουθήσας καὶ μιμησάμενος, τὸ ὀρεσίτροφον, σὺν τοῖς Θεοφόροις σου συνασκηταῖς, μεθ' ὧν νῦν ὑμνούμενος, ἡμῶν μνημόνευε.

Νενεκρωμένον με ζώωσον, ταῖς τῶν παθῶν προσβολαῖς, τεθαμμένον ἀνάστησον, Ἰωσὴφ πανάριστε, τοῦ παγκάλλου ὁμώνυμε, τῆς σωφροσύνης, στάθμη ἡ ἔνθεος, ὁ καταισχύνας, τὸν πολυμήχανον, ὄφιν τὸν δόλιον, καὶ τῆς Εὔας Ὅσιε τὸν πτερνιστὴν, τὸν εἰς ὕψος ἄμετρα, κατακαυχώμενον.

Χίου τὰ θεῖα βλαστήματα, τὴν ἱερὰν πρὸς Θεὸν, ἀπαρχὴν εὐφυμήσωμεν, ἱερῶς φιλέορτοι, καὶ σεπτὸν ἀκροθίνιον, ἐν ἑτησίοις, ὕμνοις γεραίροντες, τοὺς τούτων ἄθλους καὶ τὰ παλαίσματα, καὶ τὴν τοῦ σώματος τῆξιν τε καὶ νέκρωσιν, δι' ὧν Χριστῷ, προσφοραὶ προσήχθησαν, λίαν εὐπρόσδεκτοι.

Δόξα ἦχος πλ. δ΄.

Τῶν Μοναστῶν ἡ πληθὺς, τοὺς καθηγητὰς καὶ ἀρχηγοὺς ἡμῶν Πατέρας, ἀξίως τιμήσωμεν· οὗτοι γὰρ οἱ ἀξιοθαύμαστοι τὴν στενὴν καὶ τεθλιμένην τῆς ἀσκήσεως ὁδὸν, ἀσφαλῶς ὁδεύσαντες, ζωὴν αἰώνιον, καὶ ἀνάπαυσιν εὗρον ἀΐδιον, καὶ τῆς Μακαρίας ἐκείνης τοῦ Κυρίου φωνῆς, ἀκοῦσαι κατηξιώθησαν· εὖ δοῦλοι ἀγαθοὶ καὶ πιστοὶ, οἱ τῆς ἡμέρας τὸ βάρος, βαστάσαντες, καὶ τὸ δοθὲν ἡμῖν τάλαντον αὐξήσαντες, εἰσέλθετε εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν, αἰωνίως ἀγαλλόμενοι.

Καὶ νῦν τῆς Ἑορτῆς, εἰ τύχοι.
Δοξολογία Μεγάλη καὶ ἀπόλυσις· εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος.
Ὠδὴ γ΄. καὶ ς΄.
Ἀπόστολον. Ἀδελφοὶ πείθεσθε τοῖς ἡγουμένοις. Εὐαγγέλιον τοῦ Ἁγίου Ἀντωνίου.
Κοινωνικόν. Εἰς Μνημόσυνον αἰώνιον.
Μεγαλυνάρια.

Τοὺς τῶν μοναζόντων καθηγητὰς, ἱερὸν Νικήταν, Ἰωάννην καὶ Ἰωσὴφ, τοὺς ἀναφανέντας ἐν Χίῳ θείου βίου, ὑπόδειγμα, ἐν ὕμνοις ἀνευφημήσωμεν.

Ποίμνην τὴν τιμῶσαν ὑμᾶς σεπτοὶ, ὅσιε Νικήτα, Ἰωάννη καὶ Ἰωσὴφ, ἀσινῆ ἐκ πάσης διατηρεῖτε βλάβης, ταῖς πρὸς Θεὸν ἀλήκτοις ὑμῶν δεήσεσι.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ

ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΝΙΚΗΤΑ, ΙΩΑΝΝΟΥ, καὶ ΙΩΣΗΦ.

Εὐλόγησον Πάτερ,

Οἱ Ἅγιοι δὲν ἔχουσι χρείαν δόξης καὶ τιμῆς ἀνθρωπίνης· ἐπειδὴ ζῶσιν εἰς τὸν αἰῶνα κατὰ τὸν Σολομῶντα εἰς οὐρανίαν καὶ θείαν δόξαν, καὶ αἱ ψυχαὶ αὐτῶν εἰσιν ἐν χειρὶ Θεοῦ, καὶ τὰ ὀνόματα αὐτῶν καταγεγραμμένα ἐν Βίβλῳ ζωῆς. Ἡμεῖς ὅμως χρεωστοῦμεν καὶ τὰ κατορθώματά των νὰ περιγράφωμεν, καὶ τοὺς βίους των νὰ ἐξιστορῶμεν, πρὸς τιμὴν καὶ δόξαν ἐκείνων καὶ πρὸς διόρθωσιν τῆς ζωῆς ἡμῶν, ἐπαινοῦντες καὶ μακαρίζοντες ὡς πιστοὺς Θεοῦ δούλους· ἐπειδὴ κατὰ τὸν Μέγαν Βασίλειον « ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμο» δούλων τιμὴ, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δε» σπότην εὐνοίας»· καὶ μάλιστα ἐὰν οἱ Ἅγιοι καὶ διὰ τὴν ἑαυτῶν καὶ διὰ τὴν τῶν πολλῶν σωτηρίαν ἠγωνίσθησαν, καὶ μυρίους ἱδρῶτας ἔχυσαν, κοινοὶ εὐεργέται γενόμενοι· τότε γὰρ καὶ ὁ ἔπαινος δικαιότερος, καὶ τὰ ἐγκώμια πρεπωδέστερα. Τοιοῦτοι ἀνεδείχθησαν, ἀδελφοὶ, καὶ ἐν τῇ Χίῳ τῇ νήσῳ οἱ ὅσιοι θεοφόροι Πατέρες ἡμῶν, ὁ Νικήτας, ὁ Ἰωάννης καὶ ὁ Ἰωσὴφ, ὧν σήμερον ἐπιτελοῦμεν φαιδρὸν τὸ μνημόσυνον, τὴν ὁσιότητα καὶ

ἁγιωσύνην καὶ ἀρετὴν τῶν συνεορτάζοντες. Ἐπειδὴ οὗτοι καὶ διὰ τὴν ἑαυτῶν ἠγωνίσθησαν σωτηρίαν καὶ ἐπὶ πολὺν χρόνον τοὺς ἀσκητικοὺς ὑπέστησαν ἐθελουσίους καμάτους, καὶ ὑπὲρ τῆς τῶν πολλῶν σωτηρίας οὐχ ἁπλῶς ἐφρόντισαν οἱ μακάριοι· ἀκαταλογίστους γὰρ κόπους κατά τε γῆν καὶ θάλασσαν ἀνέλαβον, ἱδρῶτι ἀφθόνῳ περιῤῥεόμενοι, ὅπως ἀνεγείρωσι Μονὴν πρὸς ψυχικὴν οἰκοδομὴν καὶ σωτηρίαν τῶν βουλομένων. Ὅθεν καὶ τὴν ἀνέγερσιν περαιώσαντες καὶ τοῖς παραδείγμασι τῶν ἰδίων ἀρετῶν καὶ θεοφιλῶν διδασκαλιῶν πολλοὺς διασώσαντες, δικαίως καὶ ἐπαινοῦνται καὶ μακαρίζονται καὶ κηρύττονται τὰ θεάρεστα αὐτῶν ἔργα ἀξίως, ὡς ἄξια, εἰς δόξαν Θεοῦ, τοῦ ἐνδοξαζομένου ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Οὗτοι γοῦν ἦσαν οἱ τρισμάκαρες γόνοι, τῆς Χίου ὁ Νικήτας λέγω καὶ Ἰωάννης καὶ Ἰωσὴφ ἀκμάζοντες ἐν τοῖς χρόνοις Μιχαὴλ τοῦ Παφλαγόνος καὶ Μιχαὴλ τοῦ Καλαφάτου, ὧν ὁ μὲν Καλαφάτης τῷ 1041, ὁ δὲ Παφλαγὼν τῷ 1034 προγενέστερος ἐβασίλευε· ἐπειδὴ τὸν μὲν Παφλαγόνα διεδέχθη ὁ Καλαφάτης, τὸν δὲ Καλαφάτην, Ζωὴ καὶ Θεοδώρα αἱ βασιλίδες ἐπ' ὀλίγον, ὁπότε προσεκλήθη ἀπὸ τῆς ἐξορίας Κωνσταντῖνος ὁ Μονομάχος, καὶ νυμφευθεὶς τὴν Ζωὴν τὴν χήραν Ῥωμανοῦ καὶ Παφλαγόνος, ἀνέλαβε τὰ σκῆπτρα τῆς Βασιλείας. Τότε καὶ οἱ Ὅσιοι πατέρες ἡμῶν ἀνεδείχθησαν εἰς τὸν Κόσμον ὑπὸ τῆς Κυρίας ἡμῶν Θεοτόκου· ἐπειδὴ τὸ πρότερον ἦσαν ἀφανεῖς, ἐν σπηλαίῳ οἰκοῦντες τοῦ Προβατίου. Ὅρος δ' ἐστὶν ὁ Προβατίας ἐν τῷ μέσῳ τῆς Χίου 2747, ποδῶν Ἀγγλικῶν ὕψος ἔχον ἀπὸ τῆς θαλασσίου ἐπιφανείας.

Καὶ καταρχὰς μὲν ἐπολιτεύοντο ἐνθάδε ἀσκητικῶς οἱ δύο αὐτάδελφοι Νικήτας καὶ Ἰωάννης· ὕστερον δὲ προσεκολλήθη αὐτοῖς καὶ ὁ Ἰωσὴφ ὁμοταγὴς καὶ ὁμόζηλος. Ἄδηλον ὅμως ἐκ τίνος μέρους τῆς Χίου ἐξεβλάστησαν τὰ θεοφύτευτα ταῦτα δένδρα, τὰ ἐπὶ τοῦ Προβατίου αὐ-

ξήσαντα καὶ ἀνθήσαντα καὶ καρποφορήσαντα θαυμασίως τε καὶ ἀφθόνως. Ἄδηλον τίνας ἔσχον γονεῖς, τίνα ἐπιτηδεύματα· πότε καὶ ποῦ ἔστησαν κατὰ πρῶτον τὴν ἀσκητικήν των παλαίστραν· ἐκ τοῦ Κόσμου κατέφυγον ἆρά γε εἰς τὸ ὄρος ἀμέσως, ἢ ἐκ Μοναστηρίου τινός, κατ' ἔρωτα πλείονος ἡσυχίας, ὁπόθεν ἀνέδραμον οἱ ἀοίδιμοι εἰς τὰ ὕψη τῆς ἁγιότητας; Ταῦτα ὡς ἄδηλα παρατρέξαντες ἐπὶ τῶν δήλων ὁρίσομεν τὴν διήγησιν. Ἀποχεχωρισμένοι γοῦν τῶν ὑλικῶν οἱ θεόσοφοι καὶ τῷ Θεῷ μόνῳ προσκαρτεροῦντες δι' ἐγκρατείας, ψαλμῳδίας καὶ προσευχῆς, ἕνα μόνον ἀπαρεγκλίτως δρόμον διέτρεχον, τὸν δρόμον τῶν σωτηριωδῶν ἀρετῶν, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτῶν διατιθέμενοι κατὰ τὸ ψαλμικὸν οἱ μακάριοι· προσεγγίσαντες εἰς τὴν ἔνθεον πολιτείαν Ἀντωνίου τοῦ Μεγάλου. Ἐπειδὴ καὶ πρὸς ἐκεῖνον ἀποβλέποντες ἠγωνίζοντο, ἐσκληραγωγοῦντο, ἐκακοπάθουν, ἅπαξ μόνον τῆς ἑβδομάδος τρώγοντες. Ἀλλὰ τί ἔτρωγον μετὰ νηστείαν τοσούτων ἡμερῶν; Ἄρτον ξηρόν. Τί ἔπινον; Νερὸν ἁπλοῦν. Ποῦ ἐκοιμῶντο; Κατὰ γῆς. Πόσον; Ὀλίγιστον ὕπνον· καθότι ἐδαπάνων τὸν βίον εἰς στάσεις ὁλονυκτίους καὶ εἰς προσευχὰς ὁλημερινάς. Ἀλλ' ἡ κακοπάθεια δὲν περιωρίζετο εἰς ταῦτα μόνα. Πρόσθες καὶ τὴν ταλαιπωρίαν τοῦ τόπου. Πῶς; καθότι τὸ ὄρος τῆς κατοικίας των ἐστιν ὑψηλόν, χρημνῶδες δύσβατον, ἄνυδρον, ἄκαρπον· καὶ εἰς τὴν μετακομιδὴν λοιπὸν τῆς τροφῆς, τοῦ νεροῦ, τῆς πορείας ἐταλαιπωροῦντο, καὶ οἱ ἄνεμοι καὶ αἱ βροχαὶ καὶ αἱ χιόνες αὐτοὺς ἐβασάνιζον· καὶ τὸ φύσει κάθυγρον τῆς οἰκήσεως τοῦ σπηλαίου, καὶ τὸ σκοτεινὸν καὶ πνιγηρὸν αὐτοῦ ἀνήλισκε τὰς σωματικάς των δυνάμεις. Καὶ διατὶ ταῦτα πάντα; Διὰ τὴν ἀγάπην τοῦ πλάσαντος. Διὰ τὴν ἀγάπην τῶν αἰωνίων ἀγαθῶν. Διὰ τὴν ἀγάπην τῆς ψυχικῆς αὐτῶν σωτηρίας. Ὡς γὰρ ὁ Μωϋσῆς ἐν Σινᾶ, ὡς ὁ Ἠλίας εἰς τὸ Καρμήλιον, ὡς ὁ Πρόδρομος εἰς τὸν Ἰορδάνην καὶ κακουχούμενοι καὶ στενοχωρούμενοι καὶ θλιβόμενοι, τῶν ἐπιγείων ἀναπαύ-

σεών τε καὶ ἀπολαύσεων ὅλων στερούμενοι, ἀπὸ τῶν ἀνθρωπίνων συναναστροφῶν καὶ ὁμιλιῶν χωριζόμενοι εἰς ποῖον ὕψος θεωρίας νομίζετε, ὅτι ἀνέβησαν διὰ τῆς μεγάλης ἡσυχίας, διὰ τῆς καθαρότητος τοῦ νοός; ποίας ὀπτασίας θείας, μεγάλας, ὑψηλὰς, θαυμασίας ἔβλεπον οἱ τρισόλβιοι; Ὁ Μωϋσῆς εἶδε τὸ ὅραμα τῆς Βάτου καιομένης, καὶ μὴ κατακαιομένης, ὡς ἔχων ψυχὴν ἁγιωτάτην καὶ διάνοιαν καθαρωτάτην. Ὁ Ἠλίας εἶδε τὸν Κύριον ἐν εἴδει αὔρας λεπτῆς, ὡς ζηλωτὴς καὶ ἐραστὴς θερμότατος τοῦ Θεοῦ. Ὁ Πρόδρομος βαπτίσας ἐκαθάρισε τὸν ἀμόλυντον υἱὸν τοῦ Θεοῦ ἰδίᾳ χειρί· εἶδε τὸ πανάγιον Πνεῦμα ἐν εἴδει περιστερᾶς· ἤκουσε τὴν θείαν φωνὴν τοῦ Προανάρχου πατρὸς, μαρτυροῦσαν τὴν θεότητα τῶν συναναρχῶν προσώπων, διὰ τὴν μεγάλην του ἁγιότητα· οἱ Ἀπόστολοι ἐγένοντο θεωροὶ τῆς δόξης τοῦ Σωτῆρος ἡμῶν ἐν Θαβὼρ, καὶ καθήσουσιν ἐπὶ δώδεκα θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Διατί; Διότι ἠρνήθησαν τὸν Κόσμον καὶ τὰ ἐν Κόσμῳ διὰ τὴν ἀγάπην τοῦ κτίσαντος τὸν Κόσμον· διότι ἠκολούθησαν τὸν Χριστὸν φέροντες ἐπ' ὤμων τὸν εὐαγγελικὸν τούτου Σταυρόν.

Καὶ οἱ θεῖοι λοιπὸν πατέρες ἡμῶν ὁ Νικήτας Ἰωάννης καὶ Ἰωσὴφ, καὶ ὀπτασίας εἶδον ὁμοίῳ τῷ τρόπῳ θαυμαστὰς καὶ ὑπερφυεῖς, καὶ προορατικοῦ χαρίσματος θεόθεν κατηξιώθησαν, καὶ τὴν Μυρσίνην εἶδον ἐν μέσῳ τῶν πέριξ φλογῶν ἀκατάφλεκτον, καὶ τὴν θαυματουργὸν εἰκόνα τῆς θεομήτορος ἐπὶ τῆς Μυρσίνης, καὶ τὴν θεομήτορα καθ' ὕπνους λέγουσαν· ὑπάγετε εἰς τὴν Μιτυλήνην. Διὰ ποίαν ὦ Δέσποινα, ἀφορμήν; Ὑπάγετε εἰς τὴν Μιτυλήνην πρὸς τὸν Μονομάχον· θεῖοι γὰρ ἐγένοντο, τῷ Θεῷ προσομιλοῦντες καὶ οὗτοι. Ἀλλ' ἵνα μὴ ὁ λόγος προθύστερος γένηται, ἐπανακάμπτομεν εἰς τὰ πρότερα τῶν συμβάντων. Ἐν γοῦν τῷ κατὰ τὸν Προβατίαν σπηλαίῳ οἰκοῦντες· τῷ νοτιανατολικώτερον κειμένῳ κατὰ τὸν αὐχένα τοῦ ὄρους, καὶ ὑπὸ τὸν ἔναστρον ναὸν, τὸν

ὑψίροφον οὐρανὸν, προσευχόμενοι τῷ Θεῷ ἐν νυξὶ καὶ ἡμέραις, ἔβλεπον πολλάκις τὰς νύκτας φῶς λάμπον εἰς τὴν ἀνατολικὴν βάσιν τοῦ ὄρους· καταβαίνοντες οὖν καὶ ἐξερευνῶντες τὴν ὕλην ἐκ τοῦ πλησίον πολλάκις οὐδὲν ἔβλεπον. Ἐξαπορούμενοι δὲ διὰ τὸ φαινόμενον, καὶ τὴν ἐξήγησιν ἐπιδιώκοντες, διενοήθησαν ἵνα πυρπολήσωσι τὸ μέρος ἐκεῖνο ἐπ' ἐλπίδι, ὅτι ἠδύναντο ἀνακαλύψαι τι σαφηνίζον τὸ ἀνεξήγητον φῶς. Διὰ ταῦτα πῦρ εἰς τοὺς ἐκεῖ ἐνθέντες δρυμοὺς καὶ τὴν πρόοδον τοῦ πυρὸς ἐπακολουθοῦντες, καὶ τοὺς θάμνους μετὰ τῶν φρυγάνων κατακαιομένους παρατηροῦντες, θαυμάζουσι προσερχόμενοι, διατὶ ἐγκαταλιμπάνει ἕνα τῶν θάμνων ἡ πέριξ χωροῦσα φλὸξ ἀκατάκαυστον. Τότε οὖν, εὐθὺς τῆς φλογὸς ἀποσβεσθείσης ἀπροσδοκήτως, προσεγγίσαντες καθορῶσιν, ὅτι ὁ θάμνος ἦν Μυρσίνη, μὴ φλογισθεῖσα, ὥσπερ ἡ βάτος, ἣν εἶδε Μωϋσῆς ὁ Θεόπτης καιομένην καὶ μὴ καταφλεγομένην· ἥτις εἰκονίζει τὴν Θεοτόκον, τὴν δεξαμένην τὸ πῦρ τῆς Θεότητος, καὶ μὴ φλογισθεῖσαν. Ἐνατενίσαντες οὖν πρὸς τὸ φυτὸν, ἐμβλέπουσι χρεμαμένην ἐπὶ τῶν κλάδων τῆς Μυρσίνης μικρὰν εἰκόνα τῆς Θεοτόκου, τὸ μέγεθος ὅσον βίβλος εἰς φύλλον σχεδὸν, ἄνευ βρέφους, καὶ οἱονεὶ βαθζουσαν ἐζωγραφημένην. Τὶς διηγήσεται τὸ ἄμετρον τῆς χαρᾶς, ἣν ἔλαβον οἱ θεῖοι πατέρες, τοιοῦτον εὑράμενοι ἀδαπάνητον θησαυρὸν, διὰ θαύματος ὑπερφυοῦς τε καὶ παραδόξου; Ἀναβιβάζουσιν αὐτῶν τὴν ὁσίαν διάνοιαν εἰς τὰ ὑπερκόσμια, καὶ κατὰ τὸν ἀρχαῖον ὑπομνηματιστὴν «παιανίζουσι χαριστήρια, » καὶ ὑμνοῦσιν εὐχαριστήρια, καὶ κροτοῦσι σωτήρια τῇ » παρθένῳ καὶ Θεοτόκῳ, καὶ παρθενικὰς ἀναμέλποντες » ὕμνῳδίας, ἐπωμάδιον τὴν εἰκόνα ἀράμενοι, μετὰ πολ- » λῆς αἰδοῦς ἰέντες καὶ τέρψεως εἰς τὸ ἑαυτῶν ἐκομί- » σαντο σπήλαιον ». (φ. 23). Τὶς δὲ ἡ θαυματουργὸς αὕτη εἰκών; ἢ τὶς φέρων ἀπεκρέμασε ταύτην εἰς τοὺς χλοεροὺς κλάδους τῆς Μύρτου; τῶν Μοναστῶν ἢ τῶν λαϊκῶν τις εὐσεβής; Καὶ πότε παλαιόθεν ἢ νεωστί; Διὰ

τὴν εἰκονομαχίαν, ἢ δι' ἄλλην αἰτίαν ἄρα γε ἐναπεκρύβη ἐν ἐκείνῳ τῷ δρυμῷ ἡ Ἁγία εἰκών; Μήπως ἐξελέξατο ἡ Θεοτόκος τὴν θέσιν πρὸς κτίσιν Μοναστηρίου, καὶ ᾠκονομήσατο οὕτω τὴν εὕρεσιν οἴκοθεν, τὸ ψαλμικὸν μελῳδοῦσα· «αὕτη ἡ κατάπαυσίς μου·— ὧδε κατοι- » κήσω, ὅτι ᾑρετισάμην αὐτήν»; (ψ. 131).

Περὶ πάντων τούτων μὴ ἔχοντές τι τῶν βεβαίων εἰπεῖν συμπεραίνομεν μόνον τὸ τελευταῖον, ὡς ἔρχεται βεβαιώσων ὁ λόγος. Ἀνατεθεῖσα ἡ Ἁγία εἰκὼν ἐν τῷ τῶν Ὁσίων σπηλαίῳ ἐν ὑμνῳδίαις καὶ θυμιάμασι, οὐδὲν ἔμεινεν ἐκεῖ ἠρεμοῦσα, ἀλλὰ θαῦμα ἐπηκολούθει τῷ θαύματι· πῶς; Ἀφ' ἑαυτῆς γὰρ εὑρέθη πάλιν ἐπὶ τῆς Μύρτου. Καὶ πάλιν καὶ πολλάκις ἀναβιβαζομένη εἰς τὸ ὄρος, καὶ τιθεμένη ἐν τῷ σπηλαίῳ, εὑρίσκετο αὖθις οἴκοθεν χρεμαμένη ἐπὶ τῆς Μύρτου. Ταῦτα οἱ πατέρες ὁρῶντες, ἰδιόχειρόν τινα Ναίσκον παρὰ τὴν Μυρσίνην ἐγκτίσαντες ἐν προσευχαῖς πρὸς Θεὸν καὶ ᾠδαῖς καὶ παρακλήσεσι πρὸς τὴν Θεομήτορα ἐναπέθηκαν ἐν αὐτῷ εὐλαβῶς τὴν Ἁγίαν εἰκόνα· πληρούμενοι θυμηδίας θείας καὶ ἀνεκφράστου.

Καὶ ταῦτα μὲν συνέβαινον ἐν τῇ Χίῳ. Ἐν δὲ τῇ πόλει τοῦ Κωνσταντίνου, ὁ βασιλεύων Μιχαὴλ ὁ Ἰοφλαγὼν ἐξορίζει Κωνσταντῖνον τὸν Μονομάχον εἰς Μιτυλήνην, ἕνα τῶν μεγιστάνων τῆς Βυζαντινῆς αὐτοκρατορίας, τὰς δ' αἰτίας τῆς ἐξορίας ἐξιστορεῖ ἡ Βυζαντινὴ ἱστορία. Μείνας δ' ἐν τῇ ἐξορίᾳ ὁ Κωνσταντῖνος μεχρισοῦ ὁ ἐπαναστάτης ὄχλος τοῦ Βυζαντίου ἐκτυφλώσας τὸν Καλαφάτην ἀπέσπασε τῆς Βασιλείας, ἀναβιβάσας τὰς πορφυρογενήτους Ζωὴν καὶ Θεοδώραν ἐπὶ τὸν βασίλειον θρόνον, οὐ μόνον ἀπηλλάγη τῆς ἐξορίας, ἀλλὰ καὶ σύζυγος ἐκλήθη τῆς Βασιλίδος Ζωῆς, χήρας μὲν Ῥωμανοῦ τοῦ Ἀργυροπούλου τὸ πρότερον καὶ Μιχαὴλ τοῦ Παφλαγόνος τὸ ὕστερον, θυγατρὸς δὲ Κωνσταντίνου τοῦ Βασιλέως, μεθ' οὗ συνεβασίλευε καὶ Βασίλειος ὁ Βουλγαροκτόνος, ὅστις ἦν αὐτάδελφος ἐκείνου καὶ ἀπέ-

θανε πρότερος. Ἀχμαζούσης οὖν τῆς ἐξορίας τοῦ Μονομάχου ἀποκαλύπτεται θεόθεν εἰς τοὺς Ὁσίους ἡ ἀνάβασις αὐτοῦ εἰς τὸν θρόνον, καὶ ἀπαίρουσι ἐκ Χίου πρὸς τὴν Λέσβον οἱ Ὅσιοι θείᾳ κελεύσει.

Ἐν τούτοις καὶ ὁ θεῖος Ἰωσὴφ ἦν ἤδη αὐτοῖς συνασκούμενος. Ἀλλὰ καί τοι ἐρημῖται, καί τοι μηδόλως μηδὲν περὶ Μονομάχου ἀκούσαντες, μήτε περὶ τῶν συμβαινόντων εἰς τὰ Βασίλεια τι εἰδότες πιθανῶς, ὡς ἐν τῇ κατὰ Θεὸν πολιτείᾳ μόνον σχολάζοντες, ἐλλαμφθέντες ὅμως τὸν νοῦν ὑπὸ τῆς θείας αἴγλης τοῦ Πνεύματος τοῦ Ἁγίου, Νικήτας τε καὶ Ἰωσὴφ εἰς Μιτυλήνην ἀπέρχονται πρὸς τὸν Μονομάχον. Ἐκεῖ μετ' αὐτοῦ γνωρισθέντες προφοιβάζουσιν αὐτῷ τὰ ἐτόμενα· λέγοντες· χαῖρε, ὦ μέλλων Αὐτοκράτωρ τοῦ Βυζαντίου. Ὁ ἐξόριστος ἐγὼ καὶ κατάδικος, ὦ πατέρες τρισέβαστοι, Αὐτοκράτωρ; Καὶ πόθεν μοι τοῦτο; Πόθεν δέ μοι ἔρχεσθε, τοιαῦτα προλέγοντες ἀπροσδόκητα, καὶ τίνες ἐστέ. Ἐκ τῆς Χίου ἐρχόμεθα ἐξεπίτηδες διὰ σὲ θεόθεν ποδηγετούμενοι. Τρεῖς ἐσμὲν δοῦλοι καὶ λατρευταὶ Θεοῦ τοῦ ὑψίστου ἐγώ τ' ὁ Νικήτας καὶ οὗτος ὁ Ἰωσὴφ καὶ Ἰωάννης ὁ ἐμμένων ἐν Χίῳ, ἐν σπηλαίῳ οἰκοῦντες τῷ προβατείῳ, τῷ ἐν μέσῳ τῆς Χίου, ἐπιβλέποντες δὲ τὰς νύκτας εἰς τὴν Ἀνατολικὴν βάσιν τοῦ ὄρους φῶς λάμπον, καὶ πρὸς τὸ μέρος ἐκεῖνο φοιτῶντες, καὶ μηδὲν ἐκκαλύπτοντες, μετὰ ματαίας ἐρεύνας, πῦρ εἰς τοὺς ἐκεῖσε βαλόντες δρυμούς, ἐκαίομεν τὴν ὕλην, ἵνα εὕρωμεν μίτον τινὰ ἐμφαίνοντα τὴν διέξοδον τῆς ἀπορίας ἡμῶν, δακούσης ἀδιεξόδου· τοῦ δὲ πυρὸς ὁμόσε χωροῦντος καὶ πᾶν τὸ προστυχὸν φυτὸν ἀναλίσκοντος, Μύρτος τὴν ὁρμὴν αὐτοῦ καταπαύσασα κατέσβεσεν ὅλως· τὸ δὴ γενόμενον θαύματος ἄξιον. Πλησιάσαντες οὖν εἰς τὴν Μυρτίνην τὴν ἀκατάφλεκτον, καθορῶμεν εἰκόνα δίχα βρέφους τινὸς τὴν Παναγίαν Μητέρα τοῦ Σωτῆρος ἡμῶν εἰκονίζουσαν. Προσκυνήσαντες οὖν, ὡς εἰκὸς, καὶ δόξαν τῷ υἱῷ αὐτῆς καὶ Θεῷ ἀποδόντες, ἄραντες ἐπ' ὤμων εἰς τὴν ὀπὴν ἡμῶν ἀνηνέγ-

καμεν ψάλλοντες, καὶ τὴν ἀειμακάριστον Μητέρα τοῦ Θεοῦ μεγαλύνοντες. Τὸ δὲ τῆς εὑρέσεως θαῦμα, θαυμαστότερον γίνεται, τῆς εἰκόνος ἐπὶ τὴν Μυρσίνην καταφευγούσης, ὁσάκις ἐπὶ τὸ σπέος ἡμῶν ἀνεφέρετο.

Κατανοήσαντες οὖν, ὅτι τὸν τόπον ἐκεῖνον τῆς Μύρτου ἐξελέξατο κατοικητήριον τοῦ ἑαυτῆς ἀπεικονίσματος ἡ Παντάνασσα, χειροδομοῦμεν ταύτῃ Ναΐσκον εὐτελῆ, ὅση δύναμις, καὶ τὸν ἱερὸν ἐντιθέμεθα τύπον ἐν τούτῳ καὶ πρὸς αὐτὸν συχνάζομεν προσευχόμενοι. Νεῦσις δὲ θεία πρὸς τὴν σὴν εὐγένειαν ἄγει σήμερον προλέγοντάς σοι, ὅτι μετουπολὺ βασιλεύσεις, καὶ βασιλεύοντί σοι ἐντέλλεται ἡ τῶν Βασιλέων Βασίλισσα, ἐγκτίσαι κατὰ τὴν Μύρτον Μονὴν καὶ Ναὸν ἐν ταύτῃ περικαλλῆ, ἀντάξιον σοί τε κἀκείνης· προικοδοτῆσαι δὲ καὶ τὰ πρὸς ζωάρκειαν ἄφθονα, ἵνα οἱ ἐν ταύτῃ Μονάζοντες ἔχωσί τι διδόναι καὶ τοῖς ἔχουσι χρείαν. Ὁ δ' οὖν Μονομάχος ἀκούων ἀδόκητα, ὁ τέως δυστυχὴ ἑαυτὸν νομίζων καὶ λογιζόμενος, πιστεύσας τὴν ἄπλαστον λογικὴν τῶν Ὁσίων, καὶ τὰ θαυμάσια τῆς Θεομήτορος λογιζόμενος, μετὰ δακρύων ὑπέσχετο εἰς τὰς τῶν Ὁσίων αἰτήσεις. Πατέρες Ἅγιοι, ἀνεβόα· πείθομαι εἰς τοὺς λόγους ὑμῶν θαῤῥῶν εἰς τὸ ἔλεος τοῦ Θεοῦ, καὶ εἰς τὰς λιτὰς τῆς ἐκείνου Παναγίας Μητρός, τὸ γραφικὸν ἐνθυμούμενος· « Κύριος θανατοῖ καὶ ζωογονεῖ, κα-
» τάγει εἰς Ἅδου, καὶ ἀνάγει· Κύριος πτωχίζει, καὶ
» πλουτίζει, ταπεινοῖ, καὶ ἀνυψοῖ· ἀνιστᾷ ἀπὸ γῆς πένη-
» τα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν, τοῦ καθίσαι αὐ-
» τὸν μετὰ δυναστῶν λαοῦ, καὶ θρόνου δόξης κατακλη-
» ρονομῶν αὐτόν.» (Ὡδ. γ').

Πείθομαι εἰς τοὺς λόγους ὑμῶν, καὶ τῇ θαυματουργῷ τῆς Πανάγνου εἰκόνι Ναὸν ἐγκτίσω ἀνώτερον τῆς ὑμετέρας ἐλπίδος, καὶ Μονὴν περὶ τὸν Ναὸν δομήσω, ἀνατιθεὶς τὰ ἐπιτήδεια πρὸς ζωάρκειαν ἄφθονα. Αἰτήσαντες δὲ τὰς ὑποσχέσεις ἐναργεστέρας τε καὶ βεβαιοτέρας, ἔλαβον παρ' αὐτοῦ τὸν σημαντῆρα δακτύλιον, ὡς

ἐνέχυρον, ἤγουν τὸ δακτυλίδιον, εἰς ὅπερ ἦν ἡ σφραγὶς αὐτοῦ. Μετὰ δὴ τοῦτο ἐπανῆλθον οἱ Πατέρες εἰς τὴν ἑαυτῶν πατρίδα, δοξάζοντες τὸν Θεὸν καὶ τιμῶντες τὴν θεομήτορα.

Οὐ πολλοῦ δὲ παρελθόντος χρόνου, ἀποθνήσκει ὁ Βασιλεὺς Μιχαὴλ ὁ Παφλαγών, διαδέχεται δὲ τοῦτον Μιχαὴλ ὁ Καλαφάτης, υἱοθετηθεὶς ὑπὸ τῆς Βασιλίδος Ζωῆς· ἀλλ' ἀγνωμονήσας, ἀποβάλλει τὴν υἱοθετήσασαν ἐκ τῶν Βασιλείων. Ἐφ' ᾧ ὀργισθεὶς ὁ λαὸς τὸν μὲν Καλαφάτην ἐκτυφλώσας στερεῖ τῆς βασιλείας, ἀνακαλεῖ δὲ εἰς ταύτην τὰς πορφυρογενήτους ἀδελφὰς, τὴν Ζωὴν καὶ τὴν Θεοδώραν. Μετὰ δὲ ταῦτα κατευνασθείσης τῆς στάσεως, ἀποστέλλει εἰς Μιτυλήνην ἡ Ζωὴ ἀνακαλοῦσα Κωνσταντῖνον τὸν Μονομάχον, ὃν διεβίβασαν τριήρεις βασιλικαὶ εἰς Χρυσούπολιν. Ἐκεῖ διαμένοντι ἀποστέλλει τὴν πορφύραν ἡ Βασιλὶς, καὶ τρίτον ἤδη ἄνδρα νόμιμον συζευχθεῖσα τὸν Μονομάχον, συμβασιλεύει μετ' αὐτοῦ τῷ 1045, καὶ οὕτως ἐπληρώθη τὸ θέλημα τοῦ Θεοῦ καὶ τῶν Ὁσίων ἡ προφητεία.

Τότε ἀναπλεύσαντες οἱ Ἅγιοι εἰς Κωνσταντινούπολιν ἐμφανίζονται εἰς τὸν Βασιλέα, δεικνύοντες αὐτῷ τὸν σημαντῆρα δακτύλιόν του, καὶ ἀπαιτοῦντες τὴν ἐν Λέσβῳ τῶν ὑποσχέσεών του ἐκπλήρωσιν· τὴν ἀνέγερσιν δηλονότι Ναοῦ εὐμεγέθους ἐπ' ὀνόματι τῆς Ἀειπαρθένου, καὶ Μονῆς περὶ τοῦτον, πρὸς διατριβὴν Μοναζόντων ἀνδρῶν. Εὐλαβῶς οὖν ὁ Βασιλεὺς μετὰ τῆς Βασιλίδος Ζωῆς τῆς συνεύνου δεξάμενος τοὺς Ὁσίους, ἐκπέμπει ἀρχιτέκτονα τῆς οἰκοδομήσεως μετ' ἄλλων πολλῶν τεχνιτῶν, καὶ διατάγματα τὴν οἰκοδομὴν ἀφορῶντα κατὰ τὴν θέσιν τῆς ἀδιαφλέκτου Μυρσίνης, ὅπου ἡ θεία εἰκὼν εὑρέθη ἀνηρτημένη. Καταπλεύσαντες δὲ οὕτως εἰς Χίον, ἐλθόντες ἐπὶ τὸν τόπον μετὰ πολλῆς καὶ μεγάλης φιλοπονίας καὶ προθυμίας ἤρξαντο τῆς οἰκοδομῆς, ἐγκαλλωπίσαντες τὸν παρθενικὸν Ναὸν στήλαις μαρμαρίναις, ἔνθα διαπρέπει τὸ πορφυροῦν Χῖον μάρμαρον μετὰ πρίο-

νος κεκομμένον, καὶ τὸ μωσαϊκὸν, δι' οὗ κατεζωγράφηται ὁ θεῖος Νεώς. Ἐκτίζετο δὲ εἰς δώδεκα ἔτη δαπάναις βασιλικαῖς ζῶντος ἔτι Κωνσταντίνου τοῦ Μονομάχου. Μετὰ δὲ ταῦτα τελευτήσαντος τούτου καὶ τῆς Βασιλίδος Ζωῆς πρὸ αὐτοῦ, ἐπαύσατο ἡ οἰκοδομὴ πρὸς ὀλίγον. Ἡ δὲ τῆς Ζωῆς αὐταδέλφη Θεοδώρα διαδεξαμένη καὶ τὸν θρόνον τῆς Βασιλείας, καὶ τὸν ἔνθεον ζῆλον πρὸς περαίωσιν τῆς οἰκοδομῆς, ἄγει ταύτην εἰς πέρας μεγαλοπρεπές τε καὶ πολυήρατον.

Μετὰ δύο ἔτη, ἀφοῦ ἤρξατο ἡ οἰκοδομὴ ἐπροικοδότησεν ὁ ἀείμνηστος Βασιλεὺς Κωνσταντῖνος ὁ Μονομάχος τὴν εἰσέτι κτιζομένην Μονὴν, δωρησάμενος πολλὰ εἰσοδήματα πρὸς ζωοτροφίαν τῶν ἐν αὐτῇ Μοναζόντων, δι' ἐπισήμων χρυσοσφραγίσων ἢ χρυσοβούλλων ἐπικυρώσας τά τε παρ' αὐτοῦ τῇ Μονῇ ἀφιερωθέντα καὶ ὅσα ἄλλοι παρ' αὐτὸν αὐτῇ ἀφιέρωσαν, ἢ ὅσα ἐκποιούμενα ἡ Μονὴ ἐξηγόρασεν. Ἐν ἄλλοις δὲ διατάγμασι χρυσοσφραγίστοις ἐθέσπισε τὴν Μονὴν ἐλευθέραν, αὐτεξούσιον καὶ ἀσύδοτον καὶ ἀνενόχλητον ἀπὸ προσώπου παντός. Ἀφιέρωσαν δὲ καὶ αἱ αὐτάδελφαι Βασιλίδες οὐ μικρὰ τῇ Μονῇ ἀναθήματα, ἡ Ζωὴ καὶ ἡ Θεοδώρα πάνυ φιλοτίμως, ἐξαιρέτως δ' ἡ Θεοδώρα, ἡ τοῦ Κωνσταντίνου διάδοχος, ἥτις καὶ τὸ αὐτοδέσποτον τῆς Μονῆς διὰ χρυσοβούλλων ἐκύρωσεν αὖθις. Διόπερ καὶ οἱ τρεῖς ἐν πάσαις ταῖς ἱεροτελεστίαις ὡς κτίτορες ἀείποτε μνημονεύονται. Τελεσθείσης δὲ τῆς οἰκοδομῆς πρὸς διαμονὴν τῶν Μοναζόντων ἀνδρῶν, ἐγένετο καὶ ἄλλη διὰ τὰς Μοναζούσας ἀλλαχοῦ, ἥτις πιθανῶς ἦν ἡ μεταγενέστερον Νόστρα Δόνα ὀνομασθεῖσα ἐν τῇ πόλει τῆς Χίου, ἴδια σιτηρέσια ἔχουσαι τούτων ἑκάστη, κεχορηγημένα ὑπὸ τῶν προμνησθέντων κτιτόρων. Οὐκ ἀφῆκε δ' ὁ πονηρὸς τὴν ἀρετὴν θριαμβεύουσαν, ἀλλὰ βλέπων, ὅτι συνιστῶνται Μοναστήρια, ἐργαστήρια τῶν εὐαγγελικῶν ἐντολῶν, καὶ παλαῖστραι τῶν ἀρετῶν, ἐγείρει τινὰς ἐκ τῆς Χίου, οἵτινες διαβάλλουσιν τοὺς Ὁσίους, ὡς κακοδόξους καὶ δυσεβεῖς. Οἱ

γοῦν διοικηταὶ Θεοδώρας τῆς αὐτοκρατορίσσης ἐξορίζουσι τοὺς Ὁσίους ἀδίκως καὶ παραλόγως, καὶ τὰ τῶν Μονῶν εἰσοδήματα εἰς τὸ Οἰκοπροάστειον ἀποτίθενται· τί δ' ἦν τὸ Οἰκοπροάστειον τοῦτο ἀγνοεῖται ὅλως. Ἐνέμειναν οὖν οἱ ἀείμνηστοι εἰς τὴν ἐξορίαν οὐ μόνον μεχρισοῦ ἐτελεύτησεν ἡ Θεοδώρα, ἀλλὰ καὶ μέχρι τῆς τελευτῆς τοῦ διαδεξαμένου αὐτὴν Μιχαὴλ τοῦ Στρατιωτικοῦ, ὧν αἱ βασιλεῖαι ἐγένοντο βραχυχρόνιοι. Βασιλεύσαντος δὲ Ἰσαακίου τοῦ Κομνηνοῦ ἀνέφερον οἱ Ὅσιοι αὐτῷ τὴν ὑπόθεσιν· ὁ δὲ Βασιλεὺς ἐπιστήσας οὓς προσεκτικόν, καὶ κατανοήσας τὴν εἰς αὐτοὺς ἀδικίαν, οὐ μόνον ἐδικαίωσεν ἁπλῶς, ἀλλὰ καὶ ἀπὸ τῆς ἐξορίας ἀνακαλέσας εἰς Χίον, ἀπέδωκεν αὐτοῖς τὰς Μονὰς, ἀφελὼν ἀπὸ τοῦ Οἰκοπροαστείου· καὶ τὰ προνόμια καὶ τὰς ἀτελείας ἐπικυρώσας, κατακρίνει τοὺς συκοφάντας καὶ τοὺς ἀδίκους τῶν Ὁσίων κριτάς· ἐπικυροῖ δὲ καὶ τὰ τῆς Θεοδώρας, καὶ τὰ τοῦ Κωνσταντίνου χρυσόβουλλα διὰ χρυσοβούλλων ἰδίων, δι' ὧν ἐκθειάζει δικαίως τὰς ἑαυτῶν ἀρετὰς, καθάπερ καὶ ὁ τοῦτον διαδεξάμενος Κωνσταντῖνος ὁ Δούκας, καὶ οἱ μετ' αὐτὸν ὁμοίως. Οὕτω τοίνυν οἱ Ὅσιοι ἐπανακάμψαντες εἰς τὴν Μονὴν, δι' ἣν τοσοῦτον ἐμόχθησαν, ἀσκητικοῖς ἱδρῶσι καὶ πόνοις ὁσίοις πρὸς Κύριον ἐξεδήμησαν, καταλιπόντες τὴν Μονὴν, ἐν καλῇ καταστάσει. Καὶ πρῶτος μὲν ἐπῆλθε, πρὸς Κύριον τῇ εἰκοστῇ τοῦ Μαΐου ὁ θεῖος Νικήτας, μετὰ δὲ ταῦτα ὁ Ἰωάννης, καὶ ὕστερος τούτων ὁ Ἰωσήφ. Ἐθεσπίσθη δὲ εἰς τὸ μετὰ ταῦτα, ἵνα τῇ 20 Μαΐου ἑορτάζηται ἡ μνήμη καὶ τῶν τριῶν, ὧν τὰ λείψανα ἐτέθησαν ἐν λάρνακι πορφυρίτου λίθου, καὶ κατετέθησαν εἰς τὸν Προνάρθηκα τοῦ Ναοῦ τῆς Νεαμονῆς, θυματουργίας διαφόρους ἐν διαφόροις ἐπιτελέσαντα (α), ἐν οἷς μία μόνη σώζεται κάρα κεκο-

(α) Χεῖρες ἀσεβεῖς διέσπειραν ἀσεβῶς κατὰ τὸ 1822 καὶ τὰ τούτων ἱερὰ λείψανα, τὸ δὲ πῦρ κατέκαυσε καὶ ἠφάνισε, καταβράσαν καὶ τὴν λάρνακα τὴν ταῦτα φυλάττουσαν. Γ. Φ.

σμηνένη ἀργύρῳ, ἀλλ' ἄδηλον τίνος ἦν τῶν τριῶν.

Ἔφοδοι καὶ καταδρομαὶ τῶν Βαρβάρων ἐγίνοντο ἔκτοτε καὶ εἰς τὸ μετὰ ταῦτα, διὸ καὶ εἰς ἑκάστην κώμην τῆς Χίου εἶχον ᾠκοδομημένους πύργους πρὸς φύλαξιν οὐχὶ τῆς περιουσίας, ἀλλὰ τῆς ζωῆς τῶν κατοίκων, ἐφ' ᾧ καὶ ἐν τῇ Μονῇ ᾠκοδόμηται πύργος ἔτι καὶ νῦν σωζόμενος. Ἄδεται γοῦν, ὅτι ἦλθόν ποτε καὶ Ἄραβες ἐκ θαλάσσης πρὸς λεηλασίαν εἰς τὴν Μονήν· ἐκβιάσαντες δὲ καὶ τὰς πύλας τοῦ Ναοῦ εἰσῆλθον πρὸς ἁρπαγήν, εἰς τὰ ἐπίλοιπα μέρη ἐκτὸς τοῦ Καθολικοῦ· καθότι καὶ εἰς τοῦτο προσπαθήσαντες εἰσελθεῖν οὐκ ἠδυνήθησαν. Πῶς; Ὁ Δεσπότης Χριστὸς ἐξεικονίζεται ἐν ψηφίσιν ἐπὶ τοῦ Καθολικοῦ τὸ ὑπέρθυρον εἰς μέγεθος μεγαλοπρεπὲς καὶ κολοσσιαῖον. Ἐφαίνετο γοῦν εἰς τοὺς βαρβάρους, ὡσεὶ κατακλείων τὴν εἴσοδον τῷ μεγέθει τοῦ σώματος. Ἐκθαμβοι δὲ γενόμενοι πρὸς τὴν θέαν, ὑπεχώρησαν φόβῳ. Τὰ ἐκεῖθεν ὅμως τοῦ Ναοῦ τοσοῦτον ἐλήστευσαν, ὥστε καὶ τὴν λεγομένην ὀρθομαρμάρωσιν διαλύσαντες διὰ σφύρας καὶ σμίλης, ἐσκύλευον τὰ διαφανῆ καὶ πορφυρόχροα μάρμαρα, μεταφέροντες εἰς τὰ ἑαυτῶν πλοῖα. Προσεγγίσαντες δὲ καὶ εἰς τὴν ἱερὰν λάρνακα τῶν Ὁσίων, πρὶν ἢ ταύτην ἀνοίξωσι, καταφλέγονται ὑπὸ πυρὸς ὑπερφυῶς ἐξελθόντος ἐκ τοῦ ἐδάφους· ἡ γὰρ σμίλη δι' ἧς ὁ Ἄραψ ἀπέσπα τὰ μάρμαρα, καταπεσοῦσα ἐκ τῆς ἐκείνου χειρὸς, ἐφάνη, ὅτι ἐξήγαγε τὸ θανάσιμον πῦρ ἐκεῖνο. Μετὰ δὲ ταῦτα ἀνακαινίσαντες τὰ βεβλαμένα τοῦ Ναοῦ οἱ Νεαμονήσιοι, καὶ ζωγραφήσαντες τὰ περὶ τὴν στέγην, ἀφῆκαν τὸν τοῖχον μελανόγχρουν ἐκ τοῦ καπνοῦ ἐκείνου τοῦ θαυμασίου πυρὸς, καὶ δοκόν τινα ἡμίκαυστον, μαρτυροῦντα τὸ περιαδόμενον θαῦμα, ἅτινα φαίνονται καὶ μέχρι τῆς σήμερον. (α)

Οὗτός ἐστι συντόμως ὁ βίος τῶν Ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Νικήτα, Ἰωάννου καὶ Ἰωσήφ· οὕτως

(α) Ἐφαίνοντο μέχρι τῆς καταστροφῆς τοῦ 1822. Γ. Φ.

ἀκούσαντες τὴν εὐαγγελικὴν φωνὴν οἱ μακάριοι ἠκολούθησαν πρόθυμοι τῷ Χριστῷ, καταλιπόντες πάντα τὰ ἐν Κόσμῳ τερπνὰ καὶ ἡδέα. Ὅθεν ὡς ὁ Πρόδρομος εἰς τὰς ἐρήμους τοῦ Ἰορδάνου, ἀναβάντες εἰς τὸ ὄρος τοῦ Προβατίου, καὶ ἐν σπηλαίῳ οἰκήσαντες, ἐκακουχοῦντο, ἐταλαιπωροῦντο, καὶ νηστεύοντες, καὶ προσευχόμενοι, καὶ ἀγρυπνοῦντες, καὶ χαμευνοῦντες, τοὺς παγετοὺς ὑπομένοντες τὸν χειμῶνα, τοὺς καύσωνας τὸ θέρος. Ὅθεν καὶ τὸ ἀνταπόδομα αὐτοῖς ἀντάξιον ἔδωκεν ὁ δικαιοκρίτης Θεὸς, καὶ τὴς ἐργασίας τοῦ πνευματικοῦ ἀμπελῶνος τὸν μισθὸν ἀδεκπάνητον, ὡς καὶ τὸ βάρος τῆς ἡμέρας βαστάσασι, καὶ τὸ δοθὲν αὐτοῖς τάλαντον ἐπαυξήσασι. Παρρησίαν γὰρ κτησάμενοι παρὰ τῷ Βασιλεῖ τῷ ἐπουρανίῳ, καὶ παρὰ τοῖς βασιλεῦσι τοῖς ἐπιγείοις, ἠτκήσαντο ἀρεταῖς ἐνθέοις ἐπιῤῥοὴν τῇ πίστει ὠφέλιμον. Διὰ ταῦτα τοίνυν καὶ τὴν Ἁγίαν εἰκόνα τῆς Θεοτόκου θαυμασίως ἀνεῦρον ἐπὶ τῶν τῆς Μύρτου κλάδων ἐξηρτημένην, καὶ ναοὺς ἐκτίσαντο θαυμασίους, καὶ Μονὰς περιφήμους, καθάπερ οἱ Εὐθύμιοι, οἱ Θεοδόσιοι καὶ οἱ Σάββαι, τύπος καὶ ὑπογραμμὸς γενόμενοι ἀσκήσεως καὶ πολιτείας μοναδικῆς, ὥσπερ ὁ Παῦλος ὁ Θηβαῖος καὶ Ἀντώνιος ὁ Μέγας. Διόπερ ὕμνοις καὶ δοξολογίαις γεραίρει καὶ ἡ Νεαμονὴ, καὶ ἡ Χίος σύμπασα τὴν μνήμην αὐτῶν, ἀνθ' ὧν ἀπέδωκαν αὐταῖς ἁγιάσαντες καὶ κοσμήσαντες. Μὴ οὖν παύσητε, πατέρες θειότατοι, καὶ ὑπὲρ τῆς ποίμνης, ἣν ὁσίως ἐποιμάνατε, πρεσβεύειν, καὶ ὑπὲρ τῆς Χίου, ἐξ ἧς ἔχετε τὴν καταγωγήν, καὶ ὑπὲρ τῶν Βασιλέων καὶ πατριαρχῶν, οἵτινες ἐκραταίωσαν τὴν Μονὴν ἐν ἀσυδοσίαις, ἐν μετοχαῖς λειμωνήρεσιν (φ. 27), ἐν αὐτονομίαις· ἐν σιταγωγίαις καὶ ἐν ἄλλοις σιτηρεσίοις καὶ προνομίοις, καὶ ὑπὲρ τῶν ἐν αὐτῇ μοναζόντων, ἢ βοηθούντων αὐτῇ, ἢ ἐλεούντων αὐτήν, ἢ κοπιόντων ὑπὲρ αὐτῆς, ἢ εἰσιόντων εὐλαβῶς εἰς αὐτὴν, ἢ πρὸς τὸν ἱερὸν ὑμῶν Ναόν. Μὴ παύσητε, Ὅσιοι, πρεσβεύειν πρὸς τὴν Τριάδα τὴν Παναγίαν τοῦ δοῦναι πᾶσιν ἡμῖν ὁμόνοιαν, εἰρήνην, φρόνησιν, ἀγάπην, ἄφεσιν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΘΑΥΜΑΤΑ

τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς Νεαμονίδος.

ΠΡΟΟΙΜΙΟΝ.

Παράδοξος καὶ ὑπερφυὴς ἀπ' ἀρχῆς ἡ σύστασις τῆς Νεαμονῆς, ἣν ἡρετίσατο ἡ Ἀειπάρθενος Μαριὰμ, καὶ διατηρεῖ θαυμασίως. Φῶς παράδοξον ὡδήγησε τοὺς Ὁσίους πρὸς ἀνεύρεσιν τῆς εἰκόνος. Πυρκαϊὰ κατέλιπεν ἀκατάφλεκτον τὴν Μυρσίνην, τοῦτο μόνον διαφέρουσα τὴς καιούσης καὶ μὴ κατακαιούσης τὴν Βάτον, τὴν ἐν Σινᾷ· καθότι θεία μὲν αὕτη, ἀνθρωπίνη δ' ἐκείνη· ὡς αὕτη μὲν ἐκ χειρὸς ἀνθρωτίνης πρὸς ἐξήγησιν τοῦ φαινομένου ἀδήλου φωτός· ἐκείνη δ' ἐκ θείας, ὑποτυποῦσα τὸ ἀειπάρθενον τῆς Μητρὸς τοῦ Θεοῦ· ἀλλὰ κακείνης καὶ ταύτης θεῖον τὸ φῶς, τὴν Θεοτόκον θαυμασίως ὑπηρετοῦν. Παράδοξος καὶ ὑπερφυὴς ὁμοίως ἡ κατάβασις τῆς Ἁγίας Εἰκόνος ἐπὶ τὴν Μύρτον καὶ ἡ ἐξάρτησις ταύτης ἐπὶ τῶν κλάδων αὐτῆς, οἴκοθεν γινομένη, μεχριστοῦ ἠνάγκασε τοὺς Ὁσίους ἐγκτίσαι ταύτῃ Σηκὸν ἰδιόχειρον. Παράδοξος καὶ ὑπερφυὴς καὶ ἡ ἀποκάλυψις τῶν περὶ τὸν Μονομάχον εἰς τοὺς Ὁσίους, δι' ὧν ἠτήσατο Ναὸν καὶ Μονὴν ἡ Θεομήτωρ, καὶ ὁ λόγος ἔργον ἐγένετο, καὶ ἡ Μονὴ συστηθεῖσα καὶ προικισθεῖσα διατηρεῖται ἐν προνομίοις

αὐτόνομος πρὸ τοσούτων αἰώνων, καὶ διατηρηθήσεται μεχριτοῦ εὐτέβεια χριστολάτρις ἐνυπάρχει ἐν Λαῷ. Ὡς οὖν ἤρξατο θαυμασίως, καὶ θαυμασ ως διατηρεῖται, καὶ τοῖς μετὰ πίστεως ἐπικαλουμένοις ἀξίως τὴν προστάτιν αὐτῆς Θεοτόκον, πολλὰ ἐκτελεῖ τὰ θαυμάσια. Τούτων οὖν τινα ἐπιχειρῶμεν ἐξιστορῆσαι, ὡς ἐλίζεται εἰς τὴν Ἐκκλησίαν ἀνέκαθεν. Καὶ γάρ τοι καὶ Μωϋσῆς, καὶ Ἰησοῦς ὁ Ναυῆ, καὶ οἱ Προφῆται τὰ θαυμάσια τοῦ Θεοῦ ἐξιστόρισαν καὶ οἱ ἱεροὶ Εὐαγγελισταὶ τὰ θαύματα ἐξιστοροῦσι τοῦ Σωτῆρος ἡμῶν, καὶ τὰ τῶν ἱερῶν Ἀποστόλων ὁ θεῖος Λουκᾶς· μεθ' οὓς οἱ ἱεροὶ συγγραφεῖς ἱερὰς συντάσσοντες ἱστορίας καὶ συγγραφὰς, ἀναρίθμητα διηγοῦνται θαυμάσια τοῦ Θεοῦ, ἐκτελούμενα καὶ ἐν τῇ ἐκείνου Μητρί, καὶ ἐν τοῖς Ἁγίοις αὐτοῦ. Διὸ καὶ ἡ Ἐκκλησία διατελεῖ ἀναμέλπουσα. «Θαυμαστὸς ὁ Θεὸς ἐν »τοῖς Ἁγίοις αὐτοῦ· τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμά»στωσεν ὁ Κύριος· καὶ μετὰ τῆς Δεσποίνης ἡμῶν· Με»γαλύνει ἡ ψυχή μου τὸν Κύριον . . . ὅτι ἐποίησέ μοι με»γαλεῖα ὁ δυνατός». Τοιγαροῦν ὑπὲρ φύσιν καὶ ἀνεξερεύνητον ἔχοντα τὴν ἀφορμὴν, συμβαίνουσι ἐν ἀνάγκῃ, ἐν κινδύνῳ, ἐν ξενοχωρίᾳ ἢ βίᾳ ἀφύκτῳ, εἰς στήριγμα τῶν πιστῶν, εἰς διόρθωσιν τῶν ἀπίστων, καὶ εἰς ἄλλα τοιαῦτα· ἀείποτε δὲ εἰς δόξαν Θεοῦ, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄκρατος καὶ τὰ κρίματα ἄβυσσος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΘΑΥΜΑ Α'.

Γότθος τοξεύσας τὴν Ἁγίαν Εἰκόνα τῆς Θεοτόκου Νεαμονήτιδος.

Ἀνέβη εἰς τὴν Νεαμονὴν ποτέ τις ἐκ τῶν Τατάρων καὶ ζητήσας ἵνα ἐπισκεφθῇ τὸν Ναὸν εἰσήχθη, καὶ τῶν Μοναχῶν μὴ βουλομένων. Ἔστη οὖν ἐπὶ τὸν θρόνον τοῦ

Ἡγουμένου, κατοπτεύων ὡς ἀπὸ σκοπιᾶς τὸν Ναὸν, ἐφαίνετο δὲ, ὅτι ἐθάμβωνεν αὐτὸν ἡ καλλονὴ τοῦ Ναοῦ. Στρέψας δὲ τὸ ἄπιστον ὄμμα καὶ πρὸς τὴν Ἁγίαν Εἰκόνα τῆς Θεοτόκου, τὴν εὑρεθεῖσαν θαυμασίως ἐπὶ τῆς Μύρτου, καὶ τὸ ἐξαίρετον τῆς διακοσμήσεως ἀπορήσας, θυμῷ φθόνου τοξεύει βαρβάρως τὴν εἰκόνα τῆς Θεομήτορος, ἀλλὰ πρὶν ἥδηψαύσῃ τὴν Ἁγίαν Εἰκόνα, τὸ βέλος στρέφει ἀπ' Ἀνατολῶν πρὸς Δυσμὰς, καὶ τὸν μὲν Τάταρον ἄτρωτον καταλίπει, προνοίᾳ τοῦ μὴ κακωθῆναι τὴν Μονὴν, ὑπεράνω δὲ τῆς ἐκείνου κεφαλῆς ἐπελθὸν, τρυπᾷ μικρὰν Εἰκόνα τῆς Ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως, κρεμαμένην ἐντὸς τοῦ θρόνου ἐν πολλῷ τρόμῳ καὶ θαύματι τῶν ὁρώντων. Μετὰ δὲ τοῦτο τὸ ἐξαίσιον θαῦμα φεύγει δρομαῖος ὁ Βάρβαρος μηδὲν ἄλλο τολμήσας. Πρόκειται δὲ καὶ μέχρις ἡμῶν ἡ ἱερὰ εἰκὼν εἰς προσκύνησιν ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Ἀναλήψεως, καὶ τὴν ἐκ τοῦ βέλους ὀπὴν καθορᾷ ὁ βουλόμενος. (α)

Β'.

Πλοῖον διασωθὲν ἐκ κινδύνου ὑπὸ τῆς Παναγίας Νεαμονήτιδος.

Ἐκινδύνευέ ποτε νύκτωρ πλοῖόν τι εἰς τὸ πέλαγος· καὶ ἐπειδὴ ἀπὸ τῆς ἐμπειρίας καὶ τέχνης οὐδεμίαν εἶχον ἤδη ἐλπίδα οἱ ἐν τῷ πλοίῳ, καθικετεύουσιν θερμῶς τὴν Νεαμονήτιδα Θεοτόκον. Σῶσον ἡμᾶς Παναγία Νεαμονῆτις ὁμοθυμαδὸν ἐκφωνοῦσι. Σῶσον ἡμᾶς κινδυνεύοντας ἐκφωνεῖ ἰδίως ὁ Πλοίαρχος, καὶ κατὰ τὸ μέγεθος τοῦ ἱστοῦ σοὶ προσφέρω μίαν λαμπάδα. Ἡ δὲ Θεοτόκος ταχεῖα εἰς

(α) Μὴ ζήτει χρονολογικὴν τάξιν· καθότι οὐδεμίαν εὗρον χρονολογίαν. Τὸν τοξεύσαντα ὀνομάζει Γότθον Ἀγαρηνὸν, καὶ ἐπεξηγεῖ Τάταρον· ἐγὼ ἠρκέσθην εἰς τὸ Τάταρος μόνον! Γ. Φ.

ἀντίληψιν παραστάσα, ἐμφανίζεται εἰς τὸν πλοίαρχον καὶ τὸν ἐνθαρρύνει. Ἀπώθου φόβον ἅπαντα, λέγει, καὶ ὑπὲρ ὑμῶν φέρω σωτηρίας βοήθειαν. Ἐφάνη δὲ τῷ πλοιάρχῳ, ὅτι ξύλον ἀνὰ χεῖρας κρατοῦσα ἐβυθίσθη ἐν τῇ θαλάσσῃ καταφράξασα τὴν τοῦ πλοίου ὀπήν, γενομένην ὑπὸ τοῦ κλύδωνος, δι' ἧς εἰσήρχετο ἀθρόον τὸ θαλάσσιον ὕδωρ, ἐπαπηλοῦν αὔτανδρον καταποντισμόν. Μετὰ δὲ τοῦτο θαυμασίως ἐξεργασθὲν εὐθὺς ἐπανέρχεται ἡ φυσικὴ ἠρεμία εἰς τὰ στοιχεῖα, ποδηγετεῖται δὲ καὶ τὸ πλοῖον ὑπὸ τῆς Θεοτόκου εἰς δεξιὸν λιμένα ἀβλαβὲς διὰ θαύματος. Ἤδη δὲ καὶ τῆς ἡμέρας ἐπανελθούσης, καθορῶσι καὶ τὸ ξύλον πράγματι καὶ οὐ φαντασίᾳ ἐν τῇ ὀπῇ βεβλημένον πρὸς τὰ κάτω τῆς κοιλίας τοῦ πλοίου. Παραγγείλαντες οὖν κατεσκεύασαν ὑπερμεγέθη λαμπάδα κατὰ τὸ τοῦ πλοίου κατάρτιον, καὶ ἀναβάντες ἐκόμησαν εἰς τὸν ἱερὸν Ναὸν τῆς Μονῆς ταύτην τε καὶ τὸ τμῆμα τοῦ ξύλου τὸ καταφράξαν τὴν κινδυνώδη ὀπήν, καὶ τρίκλονον μέρος σχοινίου. Καὶ τὴν μὲν λαμπάδα ἔστησαν εἰς τὰ δεξιὰ τοῦ Καθολικοῦ ὑψουμένην ἀπὸ τοῦ ἐδάφους μέχρι τῆς ἐμψηφώσεως, τὸ δὲ ξύλον καὶ τὸ σχοινίον ἐξήρτησαν εἰς τὸ βόρειον τοῦ Προνάρθηκος ὑπεράνω τῆς λάρνακος, ἔνθα καὶ τὸ κατὰ τῶν Ἀράβων ἐγένετο θαῦμα (φ. 45)· καθότι κατοπτεύων ὁ πλοίαρχος τὸν θεῖον Ναὸν, εἶδεν ἐζωγραφημένην παρὰ τὴν λάρνακα τῶν Ὁσίων τὴν Θεοτόκον, καὶ ἀνεγνώρισεν, ὅτι εἰς ἐκεῖνο τὸ σχῆμα ἐφάνη πρὸς αὐτὸν κινδυνεύοντα καὶ τὸν ἔσωσεν. Ἐπειδὴ ὅμως ἐνταῦθα κατεκάησαν ὡς προελέχθη οἱ Ἄραβες (φ. 45), διέδωκαν ἀλόγως τινές, ὅτι τὸ ἐνταῦθα κρεμάμενον ξύλον ὑποδηλοῖ πόδα φλεχθέντος Ἄραβος. Ἀλλ' ἡ ἀλήθεια ἔχει ὡς προεγράφη, διασωθεῖσα κατὰ διαδοχὴν ἀπὸ τῶν παλαιοτέρων καὶ τῶν συνετωτέρων. (α)

(α) Ἡ λαμπὰς ἐκάη μετὰ τοῦ Ναοῦ τῷ 1822. Τὸ ξύλον ὅμως καὶ τὸ σχοινίον σώζονται μέχρις ἡμῶν περὶ τὸν αὐτὸν τόπον κρεμάμενα καὶ μαρτυροῦντα τὸ θαῦμα διὰ θαύματος νέου·

Γ'.

Πλοῖον διασωθὲν ἐκ τῶν ὀνύχων πειρατικοῦ προνοίᾳ τῆς Παναγίας Νεαμονήτιδος.

Βαρβαρία ἐπαρχία ἐστὶ τῆς Ἀφρικῆς εὐμεγέθης, ἐν ᾗ καὶ τὸ Μαρόκον, τὸ Ἀλγέριον, ἡ Τύνις, ἡ Τρίπολις, μετερχόμενα συστηματικὴν πειρατείαν χθὲς ἔτι καὶ πρώην. Ἔπλεε γοῦν ποτε καὶ πλοῖον ὁμογενὲς εἰς τὴν Βενετίαν ἐκ Χίου, φέρων καὶ τὸν κώδωνα τῆς Νεαμονῆς, ὅπως μετασκευασθῇ εἰς τὰ τῆς Βενετίας χυτήρια, θλασθεὶς ἐν τῇ κρούσει. Ἔξω δὲ τοῦ Ἀδριατικοῦ πλέον ἔτι, καταδιώκεται ὑπὸ πλοίου Βαρβαρικοῦ. Καὶ τοῦτο μὲν ὡς πειρατικὸν εἶχεν ἅπαντα τὰ πρὸς πόλεμον, τὸ δὲ ὡς ἐμπορικὸν, ἀνέτοιμον ἦν πρὸς ἀντίκρουσιν. Διὰ ταῦτα ἐπὶ τῆς πάλης, οὔσης ἀνίσου, ὁρῶν ἑαυτὸ ὑπὸ τοῦ πειρατικοῦ καταβεβλημένον, καταφεύγει εἰς τὴν ἀκαταμάχητον προστασίαν τῆς Νεαμονήτιδος Θεοτόκου. Μετὰ δὲ τὴν πρὸς αὐτὴν ἱκέσιον δέησιν, ἐντίθησιν εἰς τὸ τηλεβόλον τὰ τμήματα τοῦ κώδωνος τῆς Νεαμονῆς, καὶ πυροβολεῖ κατὰ τοῦ πειρατικοῦ. Ἐνῷ οὖν ὁ κίνδυνος ὤθησε τὸ εἰρηνικὸν πλοῖον μέχρι χείλους τῆς ἀβύσσου, ἡ Θεοτόκος εἰς ἀντίληψιν ἐπελθοῦσα ταχεῖα, καταβάλλει τὴν ὁρμὴν τοῦ πειρατικοῦ, καὶ αἱ βολαὶ τῶν θλασμάτων τοῦ κώδωνος, καταποντίζουσιν αὐτό. Διασωθὲν οὖν ἐν θαύματι τὸ πλοῖον αἴρει πρὸς Βενετίαν. Ἐκεῖ ἰδίᾳ δαπάνῃ μετεσκεύασαν τὸν κώδωνα βέλτιον ἢ πρότερον ἐπαναφέρει εἰς Χίον. Ἀναβὰς οὖν ὁ πλοίαρχος εἰς τὴν Μονὴν ἀπέδωκε μετὰ τοῦ κώδωνος καὶ τὰ εὐχαριστήρια εἰς τὴν Θεοτόκον μετὰ μεγάλης εὐλαβείας καὶ κατανύξεως, διηγούμενος τοῖς πᾶσι τὸ θαῦμα. Ὁ δὲ κώδων κρεμα-

τοῦ γὰρ Ναοῦ συλλήβδην κατακαέντος, ταῦτα καί τοι εὔφλεκτα διεσώθησαν. Γ. Φ.

σθεὶς ἐπὶ τῆς δυτικῆς τοῦ κωδωνοστασίου καμάρας ἐσήμαινε καὶ τὸ ὑπερφυὲς θαῦμα τῆς Θεοτόκου.

Δ'.

Ἡ Παρθενομήτωρ ἐμφανίζεται εἰς τὸν χρυσοχόον.

Ἡ θεομητορικὴ τῆς Νεαμονῆς Εἰκὼν ἐξεικονίζουσα τὴν Ἀειπάρθενον ἄνευ βρέφους, μόλις ἔχει τὸν χαρακτῆρα φαινόμενον ἐκ τῆς παλαιότητος. Ὁμολογεῖται ὅμως ὑπὸ πάντων, καὶ αὐτοὶ ἡμεῖς ἠσθάνθημεν πολλάκις, ὅτι ἐκπνέει ἄῤῥητον εὐωδίαν. Διὰ ταῦτα οὐ μόνον ἄνδρες φοιτῶσιν εἰς προσκύνησιν αὐτῆς, ἀλλὰ καὶ γυναῖκες πανταχόθεν, καταφρονοῦσαι καὶ τὸ δύσβατον τῆς ὁδοῦ, καὶ τὰς μακρὰς ἀποστάσεις, καὶ τὸ ἔξωθεν αὐλίζεσθαι τῆς Μονῆς, οὐδέποτε γὰρ εἰσέρχεται εἰς τὸν Ναὸν ἡ τὴν Μονὴν γυνή. Διὰ τοῦτο γοῦν ἐξάγουσι δι' αὐτὰς τὴν θείαν εἰκόνα εἰς προσκύνησιν ἔξω τῆς πύλης, ὅπου ἵστανται μετ' εὐλαβείας αἱ προσκυνήσουσαι ἢ καὶ ἀφιερώσουσαι. Ὅτε σημαίνουσι μὲν οἱ κώδωνες προμηνύουσαι τὴν ἐξαγωγὴν καὶ εἰσαγωγήν, ἐναρμόνιον δὲ καὶ τὴν πομπὴν καθιστῶσαι, ἥτις γίνεται μετὰ φανῶν καὶ λαμπάδων, ἐν θυμιάμασι καὶ παρθενικαῖς ὑμνῳδίαις, προπορευομένων κατὰ ζεῦγος διακόνων καὶ ἱερέων ἐν στολαῖς, κρατούντων τὴν Ἁγίαν Κάραν τοῦ Κτίτορος, τὸ ἱερὸν εὐαγγέλιον, καὶ ἄλλων ἄλλα σύμβολα θεῖα· μετὰ τούτους ἀκολουθοῦσι δύο ἱερεῖς κρατοῦντες εὐλαβῶς τὴν ἁγίαν εἰκόνα τῆς Θετόκου, ὄπισθεν δ' αὐτῆς ἀκολουθεῖ ὁ Ἡγούμενος μετὰ τῶν τῆς ἡγουμενείας συμβόλων, τοῦ μανδύου δηλονότι καὶ τῆς ῥάβδου καὶ τοῦ κουκουλίου· μετ' αὐτῶν δ' ἐφέπονται ἅπαντες τῶν Μοναστῶν ἀνὰ δύο κατὰ τάξιν πρεσβείων τε καὶ ἀξιωμάτων μικροὶ καὶ μεγάλοι. Οὕτως οὖν τῆς Εἰκόνος κατασπασθείσης ἐπανακάμπτουσιν ὁμοίῳ τῷ τρόπῳ εἰς τὸν Ναὸν λιτανεύοντες, καὶ ἐπιτιθέντες τὴν εἰκόνα εἰς τὸ Εἰκονοστάσιον. Κατανύγεται δὲ πᾶς νοῦς εὐσεβὴς ἤχους ἀκούων σαλπίγγων καὶ ὕμνους ἐναρμονίους· σταυροὺς, ἐξαπτέρυγα, στολὰς, λαμπάδας καὶ τὰ τοιαῦτα ἔκθαμβος βλέπων, καὶ φαντάζεται, ὅτι ἐντυγχάνει ἐν τῇ Ἐδὲμ εἰς πνευματικοὺς θιάσους τῆς θεομήτορος. Ἔστι δὲ ἡ ῥηθεῖσα Εἰκὼν, ἡ παρὰ τῶν Ὁσίων εὑρεθεῖσα ἐν τῇ Μυρσίνῃ τὸ κλέος καὶ τὸ καύχημα τῆς Νεαμονῆς, καὶ οἱ ἐν αὐτῇ Μονάζοντες μετ' εὐλαβείας τιμῶσιν οὐ τῆς τυχούσης, καὶ ὡς ἱερώτατον διατηροῦσι κειμήλιον, καθάπερ καὶ οἱ Μεγασπηλαιῶται τὴν τοῦ Μεγάλου Σπηλαίου ἐν τῇ Πελοποννήσῳ, οἱ Ἰβηρῖται τὴν Πορταΐτισσαν, οἱ Κύπριοι τὴν ἐν Κύκκῳ, οἱ Σουμελιῶται τὴν ἐν Τραπεζοῦντι καὶ ἄλλοι ἄλλας ὀνομαστὰς καὶ θαυματουργοὺς εἰκόνας τῆς Θεοτόκου, ὧν αἱ πολλαί, ἄδεται, ὅτι ἐζωγραφήθησαν ὑπὸ τοῦ θείου Λουκᾶ, τοῦ Εὐαγγελιστοῦ δηλονότι. Εἶχον γοῦν, ὡς εἰκὸς οἱ Νεαμονήσιοι τὴν ἱερὰν τῆς Νεαμονίδος Εἰκόνα κεκοσμημένην χρυσῇ ἐσθῆτι· ἀλλ' ἐπειδὴ ἐκ τῆς μεγάλης ἀρχαιότητος ἡ ἐσθὴς ἀπώλεσε τὸ κάλλος αὐτῆς, ἠβουλήθησαν ἐκ νέου ταύτην διασκευάσαι τε καὶ λαμπρύναι. Μετεπέμψαντο οὖν χρυσοχόον ἐπίτηδες, ὅστις ἤρξατο ἀφαιρεῖν τοὺς χρυσοὺς ἥλους διὰ σφύρας καὶ ὀδοντάγρας μετ' εὐλαβείας καὶ φόβου. Κεκυφὼς οὖν πρὸς τὸ ἔργον ὁ ἄνθρωπος, ἀκούει ἐπάνωθέν του ταπεινὴν μὲν, ἀλλ' ἡδυτάτην καὶ τερπνοτάτην φωνὴν, λέγουσαν πρὸς αὐτὸν, ἐλαφρὰ, ἐλαφρὰ κτύπα, τέκνον· ἐπειδὴ καὶ ἡ εἰκὼν ἐστὶ παλαιά· ἀναβλέψας δ' ὁ χρυσοχόος καθορᾷ μεγαλοπραπεστάτην γυναῖκα, ἐνδεδυμένην λαμπρὰ καὶ περιεζωσμένην ζώνῃ χρυσῇ, καὶ πρὶν ἢ ἀνοίξας τὸ στόμα ὁ χρυσοχόος ἐρωτῆσαι τὶς καὶ πόθεν, καὶ διατὶ εἰσῆλθε, μὴ οὔσης ἐπιτετραμένης τῆς εἰσόδου εἰς τὰς γυναῖκας, εἰσέρχεται ἡ γυνὴ διὰ τῆς νοτίου θύρας εἰς τὸ Ἅγιον Βῆμα, καὶ γίνεται ἄφαντος. Κράζει γοῦν ἐκστατικὸς ὁ ἄνθρωπος τὸν

Ἐκκλησιάρχην, ἔξω τοῦ Καθολικοῦ ἀσχολούμενον, ἐρωτᾷ περὶ τῆς φανείσης· ἀλλ' ἐκεῖνος μηδὲ ἤκουσε, μηδὲ εἶδε τὴν ἐν λόγῳ γυναῖκα. Θαυμάζοντες οὖν κατενόησαν, ὅτι ἦν τὸ γενόμενον θαῦμα, καὶ ἐμφάνεια τῆς Θεοτόκου ὑπερφυής. Ἐν δὲ τούτοις ἐνατενίσας ὁ χρυσοχόος καθορᾷ εἰς τὴν μέσην κόγχην τοῦ Βήματος ὑπεράνω τῆς Ἁγίας τραπέζης τὸ τῆς Θεοτόκου ὁμοίωμα διὰ ψηφίδων, καὶ ἀναγνωρίζει, ὅτι ἦν ἀπαράλλακος ἡ γυνή, ἣν εἶδεν ἀπροσδοκήτως καὶ ἤκουσε. Διὰ τούτου τοίνυν τοῦ θαύματος, ἐγένετο δῆλον, ὅτι ἦν εὐάρεστον τῇ παρθενομήτορι ἡ μετακόσμησις τῆς ἰδίας εἰκόνος.

Ε'.

Ἡ Θεοτόκος σώζει τὸν ὀλισθήσαντα ἐκ τῆς στέγης τοῦ πύργου.

Ἐγένετο καὶ πύργος ἐν τῷ τῆς Μονῆς περιβόλῳ, ὥσπερ καὶ ἐν ταῖς κώμαις τῆς νήσου πρὸς ἀπαλλαγὴν κινδύνων ἐξ ἐπιδρομῶν βαρβαρικῶν συμβαινόντων συχνάκις ὡς προελέχθη (φ. 45). Τούτου πρὸς τὸ δυτικὸν ἄκρον τῆς Μονῆς ὑψουμένου ἀνεκαίνιζόν ποτε οἱ Νεαμονήσιοι τὸ κεραμιδωτὸν ἐπιστέγασμα, πυραμοειδὲς ἔχον σχῆμα. Ἡ ἐν τοιούτοις ὑπουργία, μὴ οὖσα εὔκολος ἢ ἀκίνδυνος, γίνεται διὰ ξυλίνης κλίμακος, πλαγιαζομένης, καὶ στερρῶς δεδεμένης καθ' ἑκάστην τῶν πλευρῶν. Τῶν ὑπουργῶν τις οὖν στάμνον ἀνὰ χεῖρας βαστάζων κατολισθαίνει ἀπὸ τῆς κορυφῆς, καταφερόμενος εἰς τὰ κάτω μετὰ τῆς στάμνου, καὶ ἀπὸ τοῦ τρόμου κραυγάζει, Παναγία Νεαμονῆτις, βοήθει μοι· καὶ εὐθὺς μετὰ τὴν ἐπίκλησιν, κυλιόμενος καταφθάνει ἐπὶ τὰ γεῖσα τοῦ πύργου, ὁπόθεν ἰλιγγιᾷ ὁρῶν τὸ ἀπόκρημνον ὕψος καὶ ὁ θρασύτατος ὀφθαλμὸς, καὶ ἐξασφαλίζεται ἐπὶ τῶν σαλευομένων πλακῶν, δοξάζων τὴν προστάτιν τῆς Μονῆς, ῥυσαμένην αὐτὸν παραδόξως ἐκ θανάτου ἀναποφεύκτου.

Ϛ'.

Ἡ Νεαμονῆτις Θεοτόκος σώζει τὸ πρὸς αὐτὴν ἔλαιον καὶ κατακρημνισθείσης τῆς κομιζούσης αὐτὸ ἡμιόνου.

Τῶν Λεσβίων τις ἀναβὰς εἰς προσκύνησιν τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου Νεαμονίδος, ἔταξεν αὐτῇ εὐλαβούμενος, ἀναπέμψαι φορτίον ἐλαίου, ἐν τῷ αὐτῆς καῆναι Ναῷ. Παραλαβὼν οὖν τὸν τῆς Μονῆς ὑπηρέτην, ὃν καὶ Βουρδουνάρην καλοῦσι, τὴν τῶν ἡμιόνων ἐπιστασίαν ἔχοντα, παρέδωκεν αὐτῷ ἐν τῇ πόλει τῆς Χίου δύο ἀσκοὺς πλήρεις ἐλαίου, οὓς ἐπιφορτίσας διεκόμιζεν ἐπὶ τὴν Μονήν· ἀλλὰ νυκτὸς αὐτὸν χειμερίου καταλαβούσης, τὴν ὑπὲρ τὸν Μαρτυρικὸν Ναὸν τοῦ Ἁγίου Φανουρίου στενὴν καὶ ἀπόκρημνον διαβαίνων, αἰσθάνεται, ὅτι κατεκρημνίσθη ἐκεῖθεν καταπεσοῦσα εἰς τὸν ἐκεῖ ποταμὸν ἡ ἐλαιοφόρος ἡμίονος. Μὴ ἰσχύσας οὖν ὁ Βουρδουνάρης τὸ σκότος καὶ τὸν χειμῶνα καταπαλαῖσαι, καὶ πᾶσαν ἀποβαλὼν ἐλπίδα ὑπὲρ ὑποζυγίου τε καὶ ἐλαίου διὰ τὸ ὑπερβάλον τοῦ ὕψους, ἀναβαίνει εἰς τὴν Μονὴν δυσανασχετῶν καὶ ἐκδιηγούμενος τὸ δυστύχημα. Οὗτος εἶπε· κτύποι δὲ καὶ χρεμετισμοὶ αἴφνης ἀκούονται κατ' ἔμπροσθεν τῆς πύλης τοῦ Μοναστηρίου ἐγκεκλεισμένης. Ἀνοίγει ὁ πυλωρὸς, ἀλλὰ τί βλέπει; Ἡ ἐλαιοφόρος ἡμίονος ἵσταται ἔξωθεν τῆς πύλης ταῖς ὁπλαῖς ταύτην κρούουσα, καὶ μονονοὺ τῷ χρεμετισμῷ, ἀνοίξατέ μοι φωνοῦσα! Ἀβλαβεῖς δὲ τοὺς ἀσκοὺς εἰσκομίσασα, καταπίπτει, ἀποφορτισθεῖσα, καὶ ἀποθνήσκει. Οὕτως οὖν ἡ Θεοτόκος τὴν πίστιν καὶ τὴν εὐλάβειαν τοῦ ἀφιερώσαντος ἐκτιμῶσα, οὐκ ἀφῆκεν ἀπολεσθῆναι τῆς εὐσε-

βοῦς καρδίας τὸ δώρημα, ἀλλὰ διπλῷ θαύματι τοῦτο διέσωσεν.

Ζ'.

Ἡ Θεοτόκος οὐ συγχωρεῖ μηδὲ τῇ Χανούμ εἰς τὴν ἑαυτῆς Μονὴν εἰσελθεῖν.

Ἀνέκαθεν ἐπικρατεῖ κτιτορικὴ διατάξει μηδεμίαν τῶν γυναικῶν, μηδὲ μεγάλην, μηδὲ μικρὰν, εἰσέρχεσθαι εἰς τὸν Ναὸν τῆς Θεοτόκου Νεαμονίδος ἢ τὴν ταύτης Μονήν. Ἀναβαίνει δ' εἰς τὴν Μονὴν προσκυνήσων ὁ τοῦ Ἀτραμᾶ πασᾶ κηπουρὸς ἐκ τῶν Χίων Χριστιανῶν, καὶ τοῦτο γινώσκουσα ἡ τοῦ πασᾶ συνευνέτις παρακινεῖ καὶ τὴν σύμβιον τοῦ κηπουροῦ συναναβῆναι μετὰ τοῦ ἰδίου ἀνδρός. Μαρουλοῦ δ' ἦν ταύτης τὸ ὄνομα. Ἐπιθυμῶ τὰ μέγιστα, λέγει, Χανούμ, συναναβῆναι, καὶ συνεισελθεῖν εἰς τὴν Μονὴν, καὶ ἐξαιρέτως εἰς τὸν Ναὸν, τοῦ ἰδεῖν τὴν ἀξιοθαύμαστον καλλονὴν, ἣν ἐκθειαζομένην ἀκούω. Ἀδυνατῶ ὅμως τοῦτο ποιῆσαι· ἡ γὰρ Θεοτόκος οὐκ ἐπιτρέπει γυναιξὶν ὅλως εἴσοδον. Ταῦτα δ' ἀκούσασα ἡ Ὀθωμανὶς μακρὸν καὶ πλατὺν ἐγέλασε γέλωτα, χλευάζουσα, καταγελῶσα, οἰκτείρουσα καὶ τὴν γυναῖκα καὶ τοὺς χριστιανοὺς ἐν γένει, ὡς πεπληρωμένους εὐηθείας, εὐπιστίας, μωρίας καὶ πλάνης. Ἐγὼ ἀναβαίνω καὶ ἐμβαίνω εἰς τὴν Μονὴν καὶ εἰς τὸν Ναὸν, λέγει ἡ ὑψηλόφρων Χανούμ, καὶ ἴδωμεν, ἐὰν ἡ Παναγία τῶν Χριστιανῶν κωλύσῃ κἀμὲ τῆς εἰσόδου. Μὴ δοκιμάσῃς, λέγει ἡ Χριστιανὴ, Χανούμ, δοκιμὴν ἐπικίνδυνον, ἵνα μή τι τῶν ἀνιάτων πάθῃς κακόν· Τίς σου ἡ ἀνάγκη; Ἐτόλμησαν καὶ ἄλλαι πρὸς δοκιμὴν, ἀλλὰ δεινοπαθήσασαι ἀνωφελῶς μετενόησαν ἔπειτα. Οἱ ἁπλοῖ λόγοι τῆς Χριστιανῆς ἐρεθίσαντες τὴν ὑπεροψίαν καὶ περιέργειαν τῆς Ὀθωμανίδος, ἔθηκαν εἰς κίνησιν πάραυτα. Μετὰ πομπῆς οὖν καὶ φαντασίας οὐ μικρᾶς ἐγείρεται, καὶ πρὸς τὴν

Νεαμονὴν κατευθυνομένη διανοεῖται, ὅτι καταδείξει πάντως τὴν πλάνην τῶν ὀπαδῶν τοῦ Χριστοῦ, καὶ τὴν φλυαρίαν. Φθάσασα δὲ κατὰ τὸ ἥμισυ τῆς ὁδοῦ ἐπὶ τῆς θέσεως τῆς τοῦ Χαρτουλαρίου, μίαν ὅλην δαπανήσασα ὥραν εἰς τὴν ὁδοιπορίαν, ἔχουσα δ' ἔτι μιᾶς ὥρας ὁδὸν μέχρι τῆς Μονῆς· καθορᾷ πεζοδρόμον δρομαῖον ἐρχόμενον πρὸς αὐτὴν, πικροῦ μηνύματος μηνυτὴν δι' ἐκείνην· Χανούμ, φωνάζει, προσκυνήσας ὁ πεζοδρόμος, ὁ πύργος σου κατακαίεται. Καταπλαγεῖσα διὰ τὸ ἀπροσδόκητον ἡ Ὀθωμανὶς, στρέφει εἰς τὰ ὀπίσω εὐθὺς, κακῶς ἔχουσα, καὶ πρὸς τὴν Θεομήτορα ἐκβοῶσα ἐν ταπεινώσει, ἡ τέως ὑψηλόφρων γυνὴ, Παναγία Νεαμονίς μου, σῶσόν μοι, σῶσον τὰ τιμαλφῆ μου, καὶ ἀναπέμψω σοι χρυσοῦν ἔνδυμα πολυτίμητον. Καθορᾷ γοῦν ὅλον τὸν πύργον μετὰ τὴν ἐπιστροφὴν, τροφὴν ἀκαταδαμάστου πυρὸς γενόμενον, καὶ μόνον τὸν ἐκείνης θάλαμον σεσωσμένον, ἀβλαβῆ ἐκ τοῦ πυρὸς καὶ ἀδιαλώβητον κατὰ τὴν ἱκεσίαν, ἣν πρὸς τὴν Παναγίαν ἀπεύθυνε. Τί δὴ τοῦτο, εἰμὴ θαῦμα ἐξαίσιον; Ἔτι δὲ καὶ νῦν καθ' ἡμᾶς σώζονται ἄμφιά τινα ἀπὸ τῆς χρυσοϋφάντου ἐκείνης στολῆς μαρτυροῦντα τὸ θαῦμα (α), ὅπερ θαυμαστότερον ἀποφαίνει ἡ μαρτυρία πολλῶν ἰδόντων ὅτι τὸ πῦρ κατελθὸν οὐρανόθεν ἐπὶ τὴν στέγην, καὶ ἐξ αὐτῆς ἐπικαταβὰν καὶ εἰς τὰ κατώτερα μέρη, κατέφλεξε τὴν οἰκοδομήν. Ὅθεν ἔκτοτε κοινῶς ὀνομάζεται ὁ Καμένος πύργος.

Η'.

Γυνὴ Καλαιμασιῶτις χρυσοῦν νόμισμα λαμβάνει παρὰ τῆς Θεοτόκου Νεαμονίδος.

Τῶν Καλαιμασιωτίδων τις εὐλαβὴς, εὐλαβῶς ἀφιε-

(α) Ἐσώζοντο, ἀλλ' ἀπώλοντο κατὰ τὸ 1822. Γ. Φ.

ρώσασα τῇ Νεαμονίδι Θεοτόκῳ, ἣν εἶχεν οὐσίαν, ἀσθενεῖ τὸ μεταταῦτα· καὶ τῶν πρὸς ζωάρκειαν στερουμένη, οὐδεμίαν εὑρίσκει βοήθειαν ἢ παρηγορίαν. Ταλαιπωρουμένη γοῦν ἄτεκνος, ἤκουε καθ' ἑκάστην ἐκ τῶν αὐτῆς συγγενῶν σκληρὰς ἐπιπλήξεις, οἵτινες ὡς σάρακες κατεσθίοντες ξύλα, κατέτρωγον τὴν καρδίαν τῆς τεθλιμμένης ἀῤῥώστου· σάπιζε λέγοντες κατακειμένη ἀπερίθαλπτος. Ἡ Νεαμονὴ ἐλθέτω νῦν εἰς περίθαλψίν σου! Ἐκεῖ ἔγραψας τὰ ὑπάρχοντά σου, ἐκεῖ εὑρίσκοις ἀντίληψιν. Τρέχε δυσώδης εἰς τὴν Νεαμονήν σου! Ἐκείνη δὲ σιωπῶσα· ἐλπὶς ἔλεγε κατ' ἐμαυτὴν τῶν ἀπηλπισμένων, κυβέρνησις τῶν πτωχῶν, ἴασις τῶν νοσούντων, λιμὴν τῶν χειμαζομένων, παρήγορε τῶν τεθλιμμένων, γενοῦμοι σωτηρία, ἀντίληψις, παρηγορία, ἴασις. Ταῦτα διανοουμένη ἀπεκοιμήθη, καὶ τὶς μὴ θαυμάσῃ τὸ πέλαγος τῆς συμπαθείας τῆς Θεοτόκου; ἰδοὺ ἐμφανίζεται ἡ Παρθένος ὡς γυνὴ ἀγνώριστος ἐνώπιον τῆς πασχούσης. Τὶ πάσχεις, ὦ γύναι, λέγει, τὶ κλαίεις, τὶ λυπεῖσαι, τὶ θλίβεσαι; Τὰ κτήματά μου, ἀπεκρίθη ἀφιέρωσα εἰς τὴν Νεαμονήτιδα Θεοτόκον, ἤδη νοσῶ, ταλαιπωροῦμαι, πάσχω, καταθλίβομαι, στερουμένη ὑγείας, ζωοτροφίας, παρηγορίας· διότι καὶ οἱ συγγενεῖς μου ἀποστρέφοντες τὸ πρόσωπον ἐπ' ἐμοῦ, οὐκ ἐγκαταλίπουσιν ἀνενόχλητον. ἀλλ' αὐξάνουσι τὴν ταλαιπωρίαν μου, καταπικραίνοντες διὰ λόγων ἀπηνῶν τε καὶ ἀπανθρώπων, καὶ ἐξ ἀνθρωπίνης ἰδιοτελείας ὠθούμενοι ἀναξέουσι τὰς πληγάς μου ἀπαύστως. Ἐγὼ λέγει πρὸς αὐτὴν ἡ φαινομένη γυνὴ, ἐγὼ καταπαύω νῦν τὴν ἀσθένειάν σου, σβύνω τὴν φλόγα τῶν θλίψεών σου, ἀνακουφίζω τὴν ἔνδειάν σου· λάβε κατὰ τὸ φλωρίον τοῦτο, μὴ φοβοῦ, ἐπιμελοῦμαί σε καὶ φροντίζω καὶ διὰ τὴν ζωήν σου καὶ διὰ τὴν ψυχήν σου. Τὶς εἶ, ἐρωτᾷ ἡ νοσοῦσα. Τὶς εἶ, ὦ Δέσποινα, φιλάγαθε καὶ οἰκτίρμων; Ἐγώ εἰμι, λέγει, ἡ Νεαμονὶς Θεοτόκος Μαρία. Ἐν τῷ ἅμα δὲ ἡ γυνὴ ἐξυπνίσασα καθορᾷ πραγματικὸν ἐν τῇ δεξιᾷ αὐτῆς τὸ φλωρίον. Καταβάντι δὲ τῷ Καθηγουμένῳ Ἀνθίμῳ Ἁγιοπατερίτῃ εἰς τὴν Καλαιμασιὰν, διηγεῖται τὸ θαῦμα ἡ γυνὴ, καὶ τὸ παρθενικὸν ἐκεῖνο νόμισμα ἐγχειρίζει. Καὶ οὗτος μὲν χορηγεῖ βοηθείας τῇ γυναικὶ, λανθάνει ὅμως ἐκδαπανῶν τὸ φλωρίον, δι' ὅπερ ἀνωφελῶς μετανοεῖ εἰς τὸ ἐπιόν.

Θ'.

Ἡ Νεαμονῆτις Θεοτόκος ἐκτυφλοῖ μὲν τὸν συλήσαντα τὸν σταυρὸν, θεραπεύει δὲ μεταμεληθέντα.

Ὁ σεβάσμιος Προηγούμενος Ἁγιοπατερίτης διηγήσατο ἡμῖν καὶ τὸ θαῦμα τοῦτο. Ἐπανηγυρίζομεν τὴν Ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, τῇ 14 τοῦ Σεπτεμβρίου, ὅτε γίνεται συνδρομὴ πλήθους ἀνθρώπων ἐντοπίων καὶ ξένων εἰς τὴν Μονὴν, εἰς προσκύνησιν τοῦ κατὰ τὸ μέσον τοῦ Προβατίου ἀνυψωμένου ἐπὶ πέτρας ἀποκρήμνου Σταυροῦ. Συῤῥέει δὲ τὸ πλῆθος ἐν ταῖς καθ' ἡμᾶς ἐκκλησίαις καὶ προσκυνεῖ. Ἀσχολουμένου γοῦν ὡς εἰκὸς τοῦ Ἐκκλησιάρχου εἰς τὰ αἰτήματα τῶν προσερχομένων, τῶν ἱεροσύλων τις, εὐκαιρίας τυχὼν, ἁρπάζει τὸν τίμιον Σταυρὸν, καὶ φεύγει πρὸς τὴν πόλιν σπουδαῖος. Φθάσας δὲ πρὸς τὸν Ναὸν τοῦ μάρτυρος Φανουρίου, καταπίπτει αἴφνης τυφλὸς, ὀλολύζων, καὶ τοῖς διαβαίνουσι τὸ τόλμημα διηγούμενος, καὶ τὴν ἴασιν ἀπεκδεχόμενος ἀπὸ τῆς Πανάγνου, ἣν θερμοῖς δακρύοις καὶ τρόμῳ ἀνεικάστῳ ἐπεκαλεῖτο. Χειραγωγεῖται γοῦν οὕτως ἔχων εἰς τὸν Ναὸν, ἐπιθεὶς τὸν τίμιον Σταυρὸν, ἰδίαις χερσὶν, ὅπου ἦν προτεθειμένος εἰς κοινὴν προσκύνησιν καὶ ἁγιασμὸν, καὶ ὁδηγηθεὶς ἔμπροσθεν τῆς Ἁγίας εἰκόνος τῆς Θεοτόκου, ὀδύρεται, μεγαλοφώνως, τὴν ἁμαρτίαν αὐτοῦ ἐξομολογούμενος καὶ μετανοῶν. Ἰδοῦσα δὲ τὴν μετάνοιαν αὐτοῦ εἰλικρινῶς ἔχουσαν, ἡ Παντά-

νασσα Θεομήτωρ, ἀπέδωκεν αὖθις τὸ φῶς. Ὁ δὲ ἀπῆλθε μετὰ τῶν εἰδότων τὸ θαῦμα, δοξάζων τὰ μεγαλεῖα αὐτῆς.

Γ'.

Ἡ Θεοτόκος σώζει τὸν καταπεσόντα ἐκ παραθύρου.

Πολλὰ τῶν Μοναστηρίων λέγονται Σταυροπήγια, ὡς ἐγειρόμενα ἐν μέσῳ τεσσάρων Σταυρῶν κατὰ τὰ τέσσαρα μέρη τῆς Σφαίρας. Οὕτω καλεῖται καὶ ἡ Νεαμονὴ, ὡς ἐκτισμένη ὁμοίως. Τούτων ὁ μὲν πρὸς Ἄρκτον καὶ Μεσημβρίαν αὐτοφυεῖς εἰσιν, αὐτοφυῶς ἐπὶ κρημνῶν ἐγκεχαραγμένοι, ὁ δὲ πρὸς Ἀνατολὰς καὶ Δυσμὰς, χειροποίητοι ἐκ σιδήρου. Ἀλλ' ὁ ἐν μέσῳ τῶν πλευρῶν τοῦ Προβατίου ἐμπεπηγμένος ἐστὶν ὁ περίφημος· καὶ εἰς τὴν αὐτοῦ προσκύνησιν ἔρχονται κατὰ τὴν ἑορτὴν τῆς Ὑψώσεως, τῇ 14 τοῦ Σεπτεμβρίου, πλήθη ἀνθρώπων πανταχόθεν τῆς Χίου, καὶ τῆς ἀπέναντι Ἀσιατικῆς χερσονήσου· καθότι οὗτος ἐνεργεῖ ἀνέκαθεν διὰ τῆς θείας χάριτος σημεῖα καὶ τέρατα εἰς πολλοὺς, ἰάσεις παρέχων τοῖς ἀσθενοῦσι καὶ θλιβομένοις ἀνεξαντλήτους. Τὰ πλήθη τοίνυν τοῦτον κατασπαζόμενα ἐν τῷ τόπῳ, ἀναβαίνουσιν καὶ εἰς τὸ ἀσκητήριον τῶν Ὁσίων, ἔνθα συνεκκλησιάζονται εἰς ὁλονύκτιον ἀγρυπνίαν, ἁγιαζόμενα, ἐξομολογούμενα, κοινωνοῦντα, καὶ μετὰ τὴν ἐν τῷ ἱερῷ σπηλαίῳ θείαν λειτουργίαν, διασπείρονται ἕκαστος εἰς τὰ ἴδια. Παντολέων δέ τις Παντελίδης ἐπωνυμούμενος, Χῖος Χριστιανὸς, ὡς ἔχων ἐν τῇ Μονῇ μονάζοντας συγγενῆ, ἐλθὼν εἰς τὴν πανήγυριν τῆς Ὑψώσεως, ἐνέμεινε μετὰ τῆς αὐτοῦ συνοδίας καὶ τὴν ἐπομένην νύκτα ἐν τῇ Μονῇ. Οἱ γοῦν μετ' αὐτοῦ ὡς δημώδεις ἀφ' ἑσπέρας κατεφλυάρησαν, βωμολοχοῦντες τοσοῦτον, ὥσε καὶ καθ' ἣν ὥραν ἀνεγινώσκοντο μετὰ τὸ Ἀπόδειπνον οἱ εἰκοσιτέσσαρες οἶκοι τῆς Παναγίας, ἐτόλμων οἱ παράτολμοι, οἰνοβαρεῖς τε καὶ ἀδιάκριτοι, βωμολοχεῖν καὶ πειράζειν τὸν Παντολέοντα. Ἀλλ' οὗτος ἐγκρατὴς ὢν καὶ σώφρων καὶ τὴν Θεοτόκον εὐλαβούμενος καθ' ὑπερβολὴν, νήφων, ἐλέγχει τοὺς πειράζοντας, λέγων, ταλαίπωροι, καὶ ἐν καιρῷ τῆς προσευχῆς ἀτακτεῖτε, καὶ τῆς Θεοτόκου τὰς ᾠδὰς ἀνευλαβῶς διακούετε; Καὶ ποίαν ἄλλην εὕροιτε βοηθὸν καὶ ὑπέρμαχον ἐν ἀνάγκαις, ἐν θλίψεσι, ἐν ἀσθενείαις; ποίαν ἄλλην μεσίτριαν ἐν ταῖς ἁμαρτίαις; Προϊούσης δὲ τῆς νυκτὸς ἐγείρεται ὁ Παντολέων ἐκ τῆς αὐτοῦ στρωμνῆς, πρὸς ἄφοδον πορευόμενος· Πρὸς δὲ Βορρᾶν κατιδὼν παράθυρον μέγα ὀρθάνυκτον, καὶ ὑπολαβὼν, ὅτι ἦν θύρα· πλανηθεὶς ὁ ἄνθρωπος ὑπὸ τοῦ σκότους τοῦ νυκτερινοῦ καὶ τῆς ὑπνηλᾶς αὐτοῦ διαθέσεως, διασκελίζει τὸ κατώφλιον ἐξελθεῖν, καὶ κατακρημνίζεται παρελπίδα ἔξω τῆς Μονῆς, καταπεσὼν ἐπὶ πετρῶν κοπτερῶν, μέχρι τῆς σήμερον ἐπὶ τῆς ὁδοῦ φαινομένων, πρὶν ἢ κάμψῃς ἐρχόμενος πρὸς Δυσμὰς τὴν τῆς προπυλαίου πλατείας κάτω γωνίαν. Ὁ γοῦν Παντολέων ἀποδειλιάσας διὰ τὸ ἀπροσδόκητον, ἐξητήσατο μεγαλοφώνως τὴν τῆς Θεοτόκου βοήθειαν. Ἐκείνη δὲ εἰς τὸ βοηθεῖν ἑτοίμως ἔχουσα πάντοτε, καὶ μάλιστα ὑπὲρ τῶν αὐτὴν τιμώντων καὶ ἀγαπώντων, ὡς δέον, ἀπήλλαξε καὶ τὸν καταπεσόντα πάσης πληγῆς καὶ πόνου, οὐ μόνον πρὸς τὸ μὴ τὴν Μονὴν κακωθῆναι διὰ τὸν φόνον, ἢ φορολογηθῆναι, ὡς εἴθιστο κατ' ἐκείνους τοὺς χρόνους· ἀλλὰ καὶ διὰ τὸ νηφάλιον καὶ εὐσεβὲς τοῦ Παντολέοντος, ἀκροασαμένου τοὺς χαιρετισμοὺς τῆς Παναγίας ἐν κατανύξει καὶ εὐλαβείᾳ. Κραυγάσας οὖν ἔξωθεν ὁ καταπεσὼν, ἐξυπνίζει τοὺς ἐν τῷ οἴκῳ. Οὗτοι δὲ μαθόντες τὴν ἀπροσδόκητον κατάπτωσιν τοῦ ἀνθρώπου, σπεύδουσι πρὸς τὸν πυλωρὸν, δι' οὗ ἀνοίγεται ἡ τῆς Μονῆς πύλη, καὶ εἰσέρχεται ὁ κρημνισθεὶς ἀβλαβής. Ἔκτοτε οὖν ὁ Προηγούμενος Κλήμης, ὃς ἐκέκτητο τὴν οἰκίαν, διετέλει ἑορτάζων τὴν μνήμην τοῦ θαύματος ἐτησίως, εἰσδευόντων ἀφ' ἑσπέρας

ἱερέων καὶ διακόνων, καὶ συλλειτουργούντων τῇ ἐπαύριον ἐν τῇ μνήμῃ Νικήτα τοῦ Μάρτυρος, εἰς δόξαν καὶ εὐχαριστίαν τῆς Θεοτόκου.

ΙΑ'.

Ἡ Νεαμονὶς Θεοτόκος ἀποσοβεῖ θαυμασίως τοὺς ἱεροσύλους ἀπὸ τοῦ ταύτης Ναοῦ.

Τῶν προηγουμένων τις Καρβουνάρης ἐπιλεγόμενος, Γρηγόριος τ' ὄνομα, ὡς νομίζω, εἶχεν ὑποτακτικόν τινα τῶν φαυλοβίων, ὀνόματι Γεννάδιον. Τοῦτον ὡς μὴ διορθούμενον ἐξεδίωξεν ἡ Μονή, ἵνα μὴ γίγνηται πρόσκομμα τοῖς βαδίζουσι τὴν τῆς σωτηρίας ὁδόν. Οὗτος ἔξω τῆς μάνδρας βοσκόμενος μετὰ τῶν ἀπολωλότων, συμφωνεῖ μετ' αὐτῶν συλῆσαι κρυφίως τοὺς θησαυροὺς τοῦ Ναοῦ. Εἰσέρχονται οὖν διὰ τοῦ ἑσπερινοῦ σκότους εἰς τὴν Μονὴν ἀφανεῖς, περιμένοντες μετὰ τὸ κατακοιμηθῆναι τοὺς Μοναχοὺς, καὶ τὸν Ἐκκλησιάρχην εἰσβιάσασθαι τὰς θύρας εὐστόχως, πρὸς ἀθεμίτου σκοποῦ ἐκτέλεσιν ἄθεσμον. Ἐπελθούσης οὖν τῆς ὥρας τῆς κατ' αὐτοὺς δεξιᾶς, προσέρχονται προσκολλῶντες καὶ ὦτα καὶ ὄμματα εἰς τὰς ὐάλους τῶν παραθύρων· ἐμβλέπουσι δὲ διὰ τοῦ φωτὸς τῶν ἀκοιμήτων κανδηλίων τὸν Ἐκκλησιάρχην ἔνδον περιφερόμενον, καὶ συνδιαλεγόμενον ἄλλοις. Ἐπαναλαμβάνουσι κρύβδην τὴν δοκιμὴν πολλάκις τῆς νυκτὸς, ἀλλὰ πάντοτε τὰ αὐτὰ καὶ βλέπουσι καὶ ἀκούουσι. Νομίσαντες δὲ τὸ γινόμενον ὅλως τυχαῖον, διαβουλεύονται τὴν ἐπανάληψιν αὐτοῦ ἐν ἄλλῃ νυκτί. Καιροφυλακτοῦντες οὖν μεχρισοῦ σημάνῃ ὁ κώδων τῆς προσευχῆς, καὶ ἀνοίξῃ τὴν πύλην ὁ πυλωρὸς, ὅπως ἐξέλθωσιν ἀφανεῖς, ὥσπερ εἰσῆλθον, εἶδον ἰδίοις ὀφθαλμοῖς τὸν Ἐκκλησιάρχην ἐρχόμενον οἴκοθεν, φανὸν ἔχοντα ἐν ταῖς χερσὶ, καὶ τὰς κλεῖς τοῦ

Ναοῦ, δι' ὧν ἠνέῳξεν ἔξωθεν, ἐν ἀγνοίᾳ τῶν συμβαινόντων. τότε κατενόησαν, ὅτι τὰ ἐν τῷ Ναῷ ἦσαν ἐκ συνεργίας τῆς Παναγίας, ἵνα μὴ διαρπαχθῶσι τὰ σκεύη τὰ ἱερὰ, καὶ θαῦμα ὑπερφυὲς τὸ φαινόμενον. Διὸ φοβηθέντες ἀπῆλθον κρύφα, μὴ τολμήσαντες ἐπιχειρῆσαι τοῦ λοιποῦ ἱεροσυλίαν τοιαύτην, καὶ διηγοῦντο πανταχοῦ τὸ παράδοξον θαῦμα, εἰς δόξαν τῆς Θεοτόκου καὶ διόρθωσιν τῶν ἁμαρτανόντων.

ΙΒ'.

Ἡ Θεοτόκος ἐξολοθρεύει τὸν βλάσφημον.

Προεῖπε Κύριος ὁ Θεὸς, ὅτι ἐλεύσεται ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν Ἀγγέλων τῶν ἁγίων, τοῦ κρίναι ζῶντάς τε καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ. Ἀλλ' ὅμως καὶ νῦν καὶ ἀεὶ τιμωρεῖ καὶ ἐν τῷ κόσμῳ τούτῳ πολλάκις τὴν ἁμαρτίαν, ἵνα σωφρονίσῃ τοὺς ἀτακτοῦντας, καὶ ὁδηγήσῃ εἰς μετάνοιαν τοὺς ἁμαρτωλούς. Διὰ ταῦτα κατέκλυσε τοὺς ἁμαρτωλοὺς ἐπὶ Νῶε, ἐνέπρησε τοὺς ἐν Σοδόμοις τε καὶ Γομόρροις, κατεχανδάκωσε τὸν Δαθὰν καὶ τὸν Ἀβειρών, ἐξωλόθρευσε τοὺς γογγυστὰς καὶ βλασφήμους Ἑβραίους, καὶ πολλὰ καὶ ἄλλα τοιαῦτα ἐξετέλεσε πρὸς σωφρονισμὸν καὶ μετάνοιαν τῶν πταιόντων ἀνθρώπων. Τοῦτο ἐποίησε καὶ εἰς Πυργοχωρίτην τινὰ τῶν Νεαμονησίων Μοναχῶν, Γερβάσιον τ' ὄνομα, ὡς βλασφημήσαντα τὴν παναγίαν αὐτοῦ Μητέρα. Δοχίας γὰρ ἦν τις Νεόφυτος ἐκ Βαβύλων, κρατῶν καὶ τὰς κλεῖς τοῦ ταμείου τῶν τροφίμων. Πρὸς τοῦτον ἐλθὼν ὁ Γερβάσιος αἰτεῖ βούτυρον· ὁ δὲ Νεόφυτος ἀποκρίνεται, ὅτι οὐκ ἦν αὐτῷ διατεταγμένον, καὶ βουτύρου διδόναι διακονήματα εἰς τοὺς Μοναστάς· ὁ δὲ Γερβάσιος κακῶς εἰθισμένος, ἐξυβρίζει καὶ κακολογεῖ τὸν Νεόφυτον, βλασφημήσας ὡς λίαν βλάσφημος, καὶ τὴν Παναγίαν, ὁ ἄφρων

καὶ δείλαιος. Ἀπελθὼν οὖν ἐκεῖθεν, ἐν τῷ ἀναβαίνειν εἰς τὸ ὑπερῶον τῆς αὐτοῦ κατοικίας, καταπίπτει ἄπνους ἀπὸ τῆς κλίμακος. Τοῦτο γνοὺς ὁ Ἡγούμενος προσκαλεῖ συνέλευσιν, καὶ φόβῳ κακώσεως καὶ φορολογίας, ὡς προελέχθη, ἀποφασίζεται, ἵνα κηρυχθῇ, ὅτι ὑπὸ πανώλους ἀσθενείας ἀπέθανεν· ἐπεπόλαζε γὰρ τότε ἡ πανώλης εἰς Χίον. Ὑπὸ γοῦν Κλήμεντος Κοινουσίου καὶ Μηνᾶ τοῦ Χειλᾶ, ὃς ἦν ἅμα καὶ Πυλωρὸς καὶ φυξιπανώλης, ὥσπερ ὁ Κλήμης, αἴρεται χωρὶς ἱερέως, καὶ φέρεται πρὸς ταφήν· καὶ τοῦτο ἴσως τῆς θείας δίκης, ὡς βλάσφημος, μὴ καταξιωθῆναι εὐλογίας ἐπικηδείου. Τῶν ἄλλων τοίνυν προσποιουμένων ὅτι οὐ προσεγγίζουσι φόβῳ τῆς νόσου, καὶ μακρυνομένων ὡς ἔθος· ἀόρατος δύναμις κατασείσασα τὸν κράββατον τοῦ νεκροῦ, ἐν τῷ διαβαίνειν ἀπὸ τοῦ τόπου, οὗ ἵστατο βλασφημῶν ὁ Γερβάσιος ζῶν, κατέῤῥιψε τὸ πτῶμα ἐπὶ τῆς γῆς, θάμβος καὶ ἔκπληξιν καὶ τρόμον ἀνείκαστον προξενοῦν τοῖς ὁρῶσιν, οἵτινες καὶ διὰ τὸ αἰφνίδιον τοῦ θανάτου ἐξαποροῦντες, ἐγνώρισαν, ὅτι τὰ γενόμενα ἦσαν σημεῖα τῆς ἀγανακτήσεως τοῦ Θεοῦ, τιμωροῦντος δικαίως τὸν βλάσφημον. Ταῦτα διηγοῦνται εἰσέτι ζῶντες ἄνδρες φιλαλήθεις τε καὶ φιλόχριστοι· ὁ πρώην Θηβῶν ἐπίσκοπος Μακάριος, καὶ ὁ ὑποτακτικὸς αὐτοῦ Συμεών, αὐτόπται τῆς θείας καταδίκης τοῦ Γερβασίου, τοῦ τὴν Μητέρα τοῦ Θεοῦ βλασφημήσαντος. Ἀκούσατε οἱ βλασφημοῦντες καὶ μετανοήσατε, διορθώσαντες ἑαυτούς· καθότι φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, τοῦ ἐξαποστέλλοντος τοὺς ἀμετανοήτως θανόντας εἰς τὴν κάμινον τοῦ ἀκατασβέστου πυρὸς τῆς Κολάσεως.

ΙΓ'.

Θάνατος ἀναξίως ἱερωθέντος.

Μακάριος, ὁ πρώην Θηβῶν, ἡσύχαζεν ἐν τῇ Νεαμονῇ.

Νέος δέ τις τῶν δοκίμων προσελθὼν παρεκάλει αὐτὸν χειροτονῆσαι διάκονον· ὁ δὲ σεβάσμιος Ἐπίσκοπος εἰδὼς αἰτίας κωλυούσας αὐτὸν τοῦ ἱεροῦ βαθμοῦ, ἀπέτρεπε τοῦ ἱερωθῆναι. Ἀλλ' οὗτος ἀποδημεῖ, καὶ χειροτονηθεὶς ἐν ἀλλοδαπῇ ἐπιστρέφει ἱερομόναχος Λεόντιος τ' ὄνομα. Καὶ οὕτως ἔχοντα πάλιν συμβουλεύει καταμόνας ὁ φερωνύμως Μακάριος ἐπίσκοπος τῶν ψυχῶν. Μὴ κατατολμήσῃς, εἶπεν, ἱεροπραγῆσαι ἐν τῷ εὐαγεῖ τῆς Θεοτόκου Ναῷ, ἐναγεῖς χεῖρας ἐφαπλῶν πρὸς τὰ Ἅγια· ἀναξίως γὰρ ἔχεις πρὸς τὴν ἱερωσύνην. Ἀλλ' ἐκεῖνος ὑπὸ διαφόρους προφάσεις ἀψηφήσας τὰς θεαρέστους καὶ ψυχωφελίμους προτροπὰς τοῦ ἱεροῦ Ἐπισκόπου, ἐφημερεύει ἀφ' ἑσπέρας ἐν τῷ Ναῷ, μέλλων καὶ τὴν θείαν ἱερουργίαν τελέσαι, μετὰ τὸν ὄρθρον τῆς Κυριακῆς. Ἀλλ' ἡ Θεοτόκος οὐκ ἐδέξατο τὸν ἀνάξιον καταμολύναι τὸν ἀμόλυντον αὐτῆς οἶκον. Ὅθεν μετὰ τὸ ἀναστῆναι τοὺς Μοναστὰς ἐκ τοῦ ὕπνου, καὶ εἰσελθεῖν εἰς τὸν Ναόν, ὁ Λεόντιος, καί τοι διὰ κρούσεων πολλῶν ἐπὶ τῆς θύρας τοῦ κοιτῶνος αὐτοῦ πρυσκαλούμενος, οὐδόλως ἐφαίνετο. Καὶ ἐξ ἑνὸς μὲν ἤρξατο ἡ ἀκολουθία τῆς προσευχῆς, ἐξ ἄλλου δὲ, τοῦ κοιτῶνος αὐτοῦ βιαίως ἀνεωχθέντος, εὑρέθη ἐκτελευτήσας ὁ ἀνάξιος ἱερεύς. Ἐπεθύμουν ἵνα μή τινας θλίβω δυσάρεστα διηγούμενος, ἀλλὰ τί ποιήσω τῶν πραγμάτων μὴ γιγνομένων πάντοτε κατὰ τὰς ἐπιθυμίας ἡμῶν; Καλῶς ἔχει σιωπᾶν τὰ θεῖα θαυμάσια, ὅπως ποτ' ἂν γίγνωνται; ἢ βέλτιον ἐκδιηγεῖσθαι πρὸς σωφρονισμὸν τῶν πταιόντων, πρὸς μετάνοιαν τῶν ἁμαρτανόντων, καὶ διόρθωσιν τῶν σφαλλόντων; Οὕτω γοῦν καὶ οἱ ἱεροὶ εὐαγγελισταὶ ἐξιστορήσαντες τὰ θαυμάσια καὶ τὰ ὑπερφυῆ μεγαλεῖα τοῦ Σωτῆρος ἡμῶν· ἔδει αἰσχύνεσθαι καὶ τὰ πάθη καὶ τοὺς ἐμπτυσμοὺς, τοὺς ὀνειδισμοὺς, τοὺς μώλωπας, τὰ ῥαπίσματα, τὴν λόγχην, τὸν κάλαμον, τὸν ἀκάνθινον στέφανον, τὸν σταυρόν, τὴν ταφὴν ἐκδιηγεῖσθαι· ἀλλ' οὐκ ἔχει οὕτως· καθότι τὴν ἀλήθειαν βούλεται ὁ Σωτὴρ ἡ-

μῶν ἀνεπαιχύντως ὁμολογεῖν. « Ὅς γὰρ ἂν ἐπαισχυνθῇ » με, καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ, λέγει, » τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου » ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πα» τρὸς αὐτοῦ μετὰ τῶν Ἀγγέλων τῶν ἁγίων. » (Μαρκ. ἡ. 38).

ΙΔ'.

Ἀνεύρεσις θαυμασία τῆς παναρχαίου εἰκόνος τῆς Παναγίας Νεαμονήτιδος.

Τὶς ἀγνοεῖ τὴν ὀλεθριωτάτην καταστροφήν, ἣν κατὰ τὸ 1822 ὑπέστη ἀναξιοπαθοῦσα ἡ Χίος; Κατ' αὐτὴν κατεστράφη καὶ ἡ Νεαμονὴ, ἐκάησαν αἱ οἰκίαι αὐτῆς, ἡρπάγησαν τὰ σκεύη αὐτῆς, ἀπώλοντο τὰ βιβλία αὐτῆς, ἠλλοιώθησαν τὰ προνόμια αὐτῆς, ἐξηφανίσθησαν αὐτῆς καὶ χρυσόβουλλα, καὶ σιγγίλια, καὶ κώδηκες, καὶ κτηματολόγια, ἀγοραὶ, ἀνταλλαγαὶ, δωρεαί, σταυροὶ χρυσοῖ τε καὶ ἀργυροῖ, ποικίλοι καὶ τιμαλφεῖς, κανδῆλαι ἀργυραῖ, κηροπήγια, δίσκοι, φιάλαι, ἀγγεῖα, δισκοπότηρα ἀργυρᾶ, ἱερὰ ἄμφια ὁλοσήρικα, χρυσοκέντητα, χρυσοῦφαντα· τῶν Μοναζόντων οἱ μὲν ἐσφάγησαν ἔνδον, οἱ δὲ ἔξω, καὶ ἐν τῇ περιοχῇ τῆς Μονῆς, καὶ πανταχοῦ τῆς Χίου, ὁποῦ διεσπάρησαν, ὡς πρόβατα ὑπὸ θηρῶν διωκόμενα, καὶ ἀλληλοδιαδόχως βορὰ τούτων γινόμενα. Τινὲς δὲ τούτων καὶ εἰς τὰς ἐπαναστασμένας νήσους καὶ τὴν ἄλλην Ἑλλάδα πολεμοῦσαν φυγόντες, κακεῖ δὲ πεινῶντες, γυμνητεύοντες, ἀλητεύοντες, οἱ πλεῖστοι οὐδὲν ἄλλο σωστικώτερον φάρμακον παρὰ τὸν θάνατον εὗρισκον· ὀλίγοι δὲ πάνυ εἰς Χίον ἐπανακάμψαντες, ἀχνίζουσαν ἔτι ἐκ τῶν θυμάτων τῶν ἑαυτῆς τέκνων, ἐθρήνουν γονέας πεφονευμένους, υἱοὺς, ἀδελφοὺς, συγγενεὶς· γυναῖκας δεδουλωμένας, ἐσφαγμένας, ἐν ἀτιμίᾳ καὶ δουλείᾳ

καὶ ζῶσας καὶ τεθνεώσας. Πολυστένακτος ἦν τότε ἡ Χίος, πολύδακρυς, πλήρης αἵματος καὶ πυρὸς καὶ στενοχωρίας καὶ φόβου, καὶ βίας καὶ ἀδικίας· πληγαὶ ἀνείκεστοι, ζημίαι ἀνεπανόρθωτοι, κενὸν ἀνεκπλήρωτον, ἀτμοσφαῖρα μεμολυσμένη· ὡς γὰρ ἄνεμος ἁλμυρὸς ἐξασθενεῖ φυτά τε καὶ δένδρα, καὶ θανατοῖ ἄνθη τε καὶ καρπούς, ὡσαύτως καὶ ὁ μεμολυσμένος ἐκεῖνος ἀὴρ τῆς πατρίδος ἐμάραινε τοὺς ταλαιπώρους χριστιανούς· τύφος δὲ δεινὸς κατεβίβαζεν ἐλεεινοὺς εἰς τὸν Ἅδην. Τούτων οὖν ὀλίγιστοι ἐπιζήσαντες, πρωτίστην ἔλαβον φροντίδα, ἵνα πήξωσιν ἐκ τῶν ἐνόντων τὰς ἑαυτῶν φωλεὰς, ἃς παρασύρας ἐξηφάνισεν ὁ χείμαρρος τοῦ πολέμου, καὶ διασκευάσωσι θείους Ναούς, ἐν οἷς εὑρίσκει πάντοτε παρηγορίαν ὁ πάσχων καὶ τεθλιμμένος. Ἐν τούτοις καὶ οἱ διασωθέντες τῶν Νεαμονησίων συνελθόντες περὶ τὴν πνευματικὴν αὐτῶν μάνδραν κατεστραμμένην, ἐδούλευον ὡς δουλοπάροικοί τινες τῶν ἰσχυόντων Χίων Ὀθωμανῶν φόβῳ τοῦ ἐπικρατοῦντος φονικοῦ καταδιωγμοῦ πρὸς τὸ στοιχεῖον τὸ χριστιανικόν· φόβῳ βίας ἐπικρατούσης, ἁρπαγῆς, ἀνομίας, καταδυναστείας· φόβῳ πάσης κακώσεως, καὶ ἐλπίδι τινὸς ἀντιλήψεως καὶ ποσμοῦ. Ἀλλὰ καὶ οὐκ ἦν ἄλλως γενέσθαι.

Θητεύοντες οὖν διὰ τὸν ἐπιούσιον ἄρτον, καὶ ὑπὲρ τὰς κεφαλὰς τὸν πέλεκυν κατοπτεύοντες πάντοτε, βίον ἐβίουν ἀβίωτον μέχρι τοῦ 1827, ὁπότε νέου τεθέντος ἀγῶνος ἐν Χίῳ, καὶ ἀποτυχόντος, ἐφυγαδεύθημεν αὖθις τῷ 1828 πτωχοὶ πάλιν καὶ γυμνοὶ καὶ ἀνέστιοι καὶ ἀπάτριδες εἰς τὴν ὡπλισμένην Ἑλλάδα. Οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἐπανελθόντες οἴκαδε οἱ πολλοὶ, ἐνεκατεστάθημεν αὖθις ἐν Χίῳ, ἀπεκδυσάμενοι κατὰ μικρὸν τὴν τῆς δουλείας ἐσθῆτα· ἀνεκτησάμεθα γὰρ ἕκαστοι καὶ τὰς ἰδιοκτησίας ἡμῶν ἐπιεικείᾳ Βασιλικῇ κατὰ τὸ 1832. Ἐν ταύταις ταῖς δειναῖς ἡμῶν συμφοραῖς τε καὶ περιστάσεσι, δὶς χεῖρες ἀσεβεῖς ἐμπρήσαντες τὸν ἱερὸν τῆς Θεοτόκου Ναὸν τῷ 1822, καὶ τῷ 1828, ἠμαύρωσαν αὐ-

τοῦ πολλαχῶς τὴν λαμπρότητα· τὰ γὰρ ἐν αὐτῷ μάρμαρα τά τε ὀρθοστάδια καὶ τὰ τοῦ ἐδάφους, ἀπολέσαντα τὴν οἰκείαν στιλπνότητα, ἐκηλιδώθησαν, καὶ ἀπὸ τῆς πυρκαϊᾶς κατεθλάσθησαν, πολλὰ δὲ καὶ ἡ ἐπίφθονος ἀσέβεια διὰ σιδήρου κατέθραυσεν· ἡ δὲ πλεονεξία φρέατα ἐν τῷ ναῷ κατορύξασα θησαυροὺς κεκρυμμένους ἐξεζήτει. Τοῦ δ' ἐπὶ τῶν ὀρόφων μολύβδου ἐκ τοῦ πυρὸς εἰς ποταμοὺς καταῤῥεύσαντος, καὶ τοῦ ἐναπομείναντος σκυλευθέντος, ὑετοὶ καὶ νιφάδες καὶ νοτίδες καὶ παγετοὶ διὰ τῶν ἀπεριχαλύπτων στεγασμάτων καὶ ταιχισμάτων διενεργοῦντες, καὶ τὸ μωσαϊκὸν ἐξετόπισαν· κατέῤῥευσε δ' οὕτως ἡ ἔμψηφος γραφὴ τοῦ Ναοῦ, καὶ πρὸ πάντων ἡ ἐκ τοῦ θόλου. Ἡ δ' ἐν ταῖς καμάραις καὶ τόξοις διασωθεῖσα, λελωβημένη πολλαχοῦ, καὶ ὁμαυρὰ ἐκ τῆς λιγνύος τυγχάνει, καὶ ταῖς χρειαῖς μεταβεβλημένη. Σύμπαντος οὖν τοῦ Ναοῦ συγχαταχαέντος, πῶς σέσωσται ἡ ἁγιωτάτη εἰκών, ἡ ἐν τῇ καταφλεκτῳ εὑρεθεῖσα παραδόξως Μυρσίνη, ὑπὸ τῶν Ὁσίων πατέρων ἡμῶν Νικήτα καὶ Ἰωάννου (φ. 38), καί τοι παλαιοτάτη; παλαιοτάτην λέγω· ἐπειδὴ περὶ τὸ 1030 ἀναφανεῖσα θαυμασίως ἐπὶ τῆς Μύρτου, τίς οἶδε πρὸ πόσου χρόνου ἐζωγραφήθη; Τῷ δ' οὖν 1823 προσφοιτῶντες οἱ διασωθέντες τῶν Νεαμονησίων εἰς τὴν Μονὴν, κορήσαντες τὸν Ναὸν, καὶ τοὺς ἐν αὐτῷ παντοίους λάκκους πληρώσαντες, ἐκκαθάραντες αὐτὸν τῆς ἀχρήστου ὕλης, εὗρον ἐν τῇ τέφρᾳ τοῦ ἐδάφους εἰκόνισμα ἐσχισμένον κατὰ τὸ μέσον, καὶ κατακεκαυμένον περὶ τὴν κορυφήν· τοῦτο δ' ἐπισκεψάμενοι καλῶς, ἐγνώρισαν, ὅτι ἦν αὐτὴ ἐκείνη ἡ παλαιοτάτη καὶ θαυματουργὸς εἰκὼν τῆς Παρθενομήτορος, ἔκ τε τῶν περὶ αὐτὴν χρυσῶν καὶ ἀργυρῶν ἥλων, καὶ ἐξ ἄλλων πολλῶν σημείων τεκμήραντες. Περιχαρεῖς οὖν γενόμενοι ἀναγγέλλουσι τὴν ἀνεύρεσιν τῷ Καθηγουμένῳ Νεοφύτῳ Βενέτῳ, ὃς ἐν τῷ τοῦ φρουρίου σκοτεινοτάτῳ δεσμωτηρίῳ θεία κηδεμονίᾳ ἐπέζησεν. Ὁ δὲ τὸ μέγα θαῦμα τοῦτο καταμαθὼν, προσπίπτει μετὰ δα-

κρύων καὶ προσκυνῶν καταφιλεῖ τὴν Ἁγίαν καὶ θαυματουργὸν εἰκόνα τῆς Θεοτόκου, καὶ πρὸς τοὺς Μοναστὰς ἀποτεινόμενος λέγει· « ἐσμικρύνθημεν, ἀδελφοὶ, καὶ ἐ-» σμὲν ταπεινοὶ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν (Δαν-» γ'. 9). Ἀλλ' αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψί-» στου. (ψ. 70) Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; » ψ. 76). Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος » καὶ πολυέλεος. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς » τὸν αἰῶνα μηνιεῖ (ψ. 102). » Οὐκ ἐπελάθετο ἡμῶν, ἀδελφοὶ, ἐγκαταλιποῦσα διαπαντὸς ἡ προστάτις ἡμῶν. Ἀπεκδεχόμην τῆς θείας προστασίας τὴν ἐπανάληψιν. Συχνάκις μοὶ ἐφαίνετο κατ' ὄναρ παρήγορος. « Ἰδοὺ ἠ-» ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς » πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσόμεθα εἰς τὰ σκηνώ-» ματα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔ-» στησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι, Κύριε, εἰς τὴν » ἀνάπαυσίν σου σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου » (ψ. 131). » Δεῦτε τέκνα ἀνοικοδομήσωμεν αὖθις ἐνταῦθα θυσιαστήριον τῷ Κυρίῳ, καὶ τὴν Κιβωτὸν τοῦ ἁγιάσματος αὐτοῦ ἐν τῷ ἱερῷ αὐτῆς προσκυνοῦντες τεμένει, ὑπέρμαχον ἔχωμεν, καὶ κηδεμόνα, καὶ τῆς παρούσης ἡμῶν, καὶ τῆς μελλούσης ζωῆς. Θέλει γὰρ ἡ Θεοτόκος ὥσπερ καὶ πρότερον τὴν ἑαυτῆς Μονὴν διασώζεσθαι. « Ὁ Θεὸς ἦλθοσαν ἔθνη εἰς τὴν κληρονο-» μίαν σου, ἐμίαναν τὸν Ναὸν τὸν ἅγιόν σου.... Ἐξέ-» χεαν τὸ αἷμα αὐτῶν, ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλὴμ » καὶ οὐκ ἦν ὁ θάπτων. Ἐγενήθημεν ὄνειδος τοῖς γεί-» τοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ » ἡμῶν. Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος; Ἐκ-» καυθήσεται, ὡς πῦρ, ὁ ζῆλός σου;.... Μὴ μνησθῇς ἡ-» μῶν ἀνομιῶν ἀρχαίων. Ταχὺ προκαταλαβέτωσαν ἡ-» μᾶς οἱ οἰκτιρμοί σου Κύριε, ὅτι ἐπτωχεύσαμεν σφό-» δρα. Βοήθησον ἡμῖν ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δό-» ξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς· καὶ ἱλά-» σθητι ταῖς ἁμαρτίαις ἡμῶν, ὅτι λαός σου καὶ πρό-

» ϐατα νομῆς σου· ἀνθομολογησάμεθά σοι ὁ Θεὸς εἰς » τὸν αἰῶνα. Εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν » αἴνεσίν σου » (ψ. 78). Μετὰ δὲ τὰς θρηνώδεις ταύτας εὐχὰς, ἅραντες τὴν Ἁγίαν εἰκόνα, προεξάρχοντος τοῦ σεβασμίου Γέροντος Νεοφύτου, μετεϐίϐασαν εὐλαϐῶς εἰς τὸν ἱερὸν Ναὸν τῶν Ἁγίων Ἀποστόλων κατὰ τὴν Ηαμφυλίδα· ἀλλ' οὐκ ἐν πομπῇ καὶ λιτῇ εὐπαρρησιάστῳ, διὰ τὸ πονηρὸν τῶν ἡμερῶν! Ἐκεῖθεν δὲ συνεχῶς ἀναϐαίνοντες εἰς τὴν Μονήν, κατοικίας τινὰς ἐπανορθώσαντες, ηὐλίσθησαν πάλιν ἐν αὐτῇ, δεδιότες ὅμως ἔτι τὸν κλύδωνα, οὔπω πεπαυμένον ἐξ ὁλοκλήρου. Ἀλλὰ καὶ οὕτω μεταπεμψάμενοι λεπτουργοὺς, ἐξησφαλίσαντες τὸν Ναόν, εἰκονιστάσιον ἐλεπτούργησαν ἐνώπιον τοῦ ἁγίου ϐήματος, ἔνθα καὶ τὴν ϑαυματουργὸν εἰκόνα ἐν δεξιᾷ οἰκείως, ἐν οἰκείῳ χώρῳ ἐνθέντες, ἐγκαινιάζουσι τὸν Ναόν, προσηλώσαντες περὶ τοὺς τοίχους καὶ τὰ εἰθισμένα στασείδια, καὶ τ' ἄλλα τῶν ἀναγκαίων κατασκευάσαντες. Ἀλλ' ἐξ ἀνάγκης ἀποδημήσαντες ὡς προείρηται κατὰ τὸν Μάρτιον τοῦ 1828, κρύψαντες νῦν τὴν Ἁγίαν εἰκόνα ἐντὸς τοῦ πύργου, εὕρομεν αὖθις ἀπὸ τῆς φυγῆς ἐπανιόντες ἀνεπηρέαστον, ἀλλὰ τὸν Ναὸν κεκαυμένον, ὃν καὶ δεύτερον ἐκ δευτέρου ἀνακαινίσαντες, ἐγκαινιάσαντες δ' αὖθις καὶ κοσμήσαντες τὰ ἐνόντα, ψαλμοῖς καὶ ὕμνοις τὴν ἱερὰν εἰκόνα ἐπὶ τὸν ἑαυτῆς Ναὸν μετηγάγομεν. Ταύτην δὲ καὶ δι' ἀργυρᾶς ἐσθῆτος εἰς δέον ἐγκαλλωπίσαντες, ἐπειδὴ ἀπὸ τοῦ χρόνου οἱ χαρακτῆρες ὅλως ἐξηλλοιώθησαν, ἵνα μή τις ἡμᾶς διαϐάλῃ, ὡς οὐχὶ εἰκόνα, ἀλλ' ἄμορφον ἀσπαζόμενοι καὶ τιμῶντες σανίδα, διεζωγραφήσαμεν, ὡς εἰκὸς, μόνην τὴν μορφήν, ἐπειδὴ τοὺς ἄλλους σωματικοὺς χαρακτῆρας ἐξεικονίζει ὁ ἄργυρος. Καὶ ταῦτα μὲν μακρότερα τοῦ δέοντος· ἀλλ' ὡς ἱστορικὰ γεγονότα, ἀναγκαῖά εἰσιν εἰς γνῶσιν τῶν μεθ' ἡμᾶς, καὶ εἰς ἐξακρίϐωσιν καὶ πληροφορίαν τῆς διττῆς ἀνευρέσεως τῆς εἰκόνος ὑπερφυοῦς γενομένης, ὡς καὶ ἐν προλαϐούσαις καταστροφαῖς. Τὸ γὰρ

πάντα λίθον κινῆσαι τοὺς πολεμίους, καὶ πάντα ἐρευνῆσαι τε καὶ ἐξιχνιάσαι, καὶ μὴ ἀναϐῆναι καὶ ἀνευρεῖν τὴν εἰκόνα ἐπὶ τοῦ πύργου κατὰ τὸ 1828· καὶ πρότερον ὁμοίως τὸ μὴ συγκατακαῆναι καὶ αὐτὴν, παντὸς σκεύους κατακαέντος ἐν τῷ Ναῷ, πῶς οὐ ϑαῦμα παράδοξον, τὴν σύστασιν τῆς Μονῆς μαρτυροῦν εἰς σωτηρίαν ψυχῶν, καὶ δόξαν τῆς Θεομήτορος; ἧς λιταῖς καὶ πρεσϐείαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

SISMANOGLIO

ΤΟΥ ΑΙΔΕΣΙΜΩΤΑΤΟΥ

ΠΡΩΤΟΠΑΠΠΑ ΝΑΥΠΛΙΟΥ

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΜΑΛΑΞΟΥ

ΔΙΗΓΗΣΙΣ.

Περὶ τοῦ γεγονότος θαύματος ἐν τῇ Νήσῳ Χίῳ, ὑτὸ τῶν Ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ Μαρτύρων, Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου, καὶ Ὀρέστου.

Ἐν τῇ Νήσῳ τῆς Χίου Μοναστήριον ἱερὸν καὶ περικαλλὲς εἰς τόπον ἀναχωρητικὸν, καὶ πρὸς ἄσκησιν ἐπιτήδειον ἐνίδρυται· ὅπερ εἰς ὄνομα τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας ἐκ βάθρων ἀνεγερθὲν, Νεαμονὴ ἐπικέκληται· ἱκανὰς δὲ προσόδους πρὸς τὰ χρειώδη κεκτημένον, χοροῖς Ὁσίων Πατέρων ἱερωμένων ἅμα καὶ ἰδιωτῶν, εἰς δόξαν καὶ αἶνον Θεοῦ, καὶ τῆς Θεομήτορος καὶ πάντων τῶν ἁγίων διηνεκῶς ἐπικεκόσμηται. Πρὸς τοῖς ἄλλοις δὲ καλοῖς οἷς τὸ τοιοῦτον εὐαγὲς Μοναστήριον εὐθυνόμενον διαπρέπει, ἔχει καί τινα σεβάσμιον Ναὸν, ἔνδον τῆς πόλεως, τιμώμενον εἰς ὄνομα τῶν πέντε ἁγίων τοῦ Χριστοῦ Μαρτύρων, Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου Μαρδαρίου, καὶ Ὀρέστου· ὅστις Ναὸς εἰς τάξιν Μετοχίου τῷ τοιούτῳ εὐαγεῖ Μοναστηρίῳ διατελῶν, ὑπ' αὐτοῦ τε προμηθεῖται καὶ κυβερνᾶται ἐν πᾶσι τοῖς ἀναγκαίοις καὶ χρειώδεσι· καὶ ἐν αὐτῇ τῇ μνήμῃ τῶν ἁγίων, ἥτις κατὰ τὴν τρίτην καὶ δεκάτην τοῦ Δεκεμβρίου μηνὸς ἐπιτελεῖται, πάντα τὰ τῇ Ἑορτῇ προσήκοντα, ὅσα τε εἰς φωταγωγίαν καὶ θυμιάματα, καὶ τὴν τοῦ Ναοῦ εὐπρέπειαν, ὅσα τε εἰς ἀποδοχὴν τῶν ἐν τῇ Ἑορτῇ συναθροιζομένων, ἐκκλησιαστικῶν τε ἅμα καὶ λαϊκῶν, ἐκεῖθεν παρὰ τοῦ Μοναστηρίου ἐτησίως εἰσδέχεται. Σφοδροῦ δέ ποτε γενομένου χειμῶνος, καὶ πολλῆς χιόνος ἐπὶ πολλὰ καταπιπτούσης ἡμερονύκτια, οὐδεὶς τῶν Νεαμονησίων ἴσχυσε καταβῆναι διὰ τὴν ἑορτὴν εἰς τὴν πόλιν, καὶ τὰ ἐν τῷ Ναῷ τῶν Μαρτύρων διακομίσαι, ὡς ἔθος, τοῦ νιφετοῦ καταλύπτοντος πᾶσαν τὴν νῆσον, ὥσπερ σινδόνες λευκαὶ, μηδ' ὁδοῦ, μηδὲ κρημνοῦ διακρινομένου. Ἀλλὰ καὶ ἐν αὐτῇ τῇ πόλει διά τε τὰς πολλὰς τῶν νιφάδων καὶ τὸ δριμὺ τοῦ ψύχους, ἐν μὲν τῷ ἑσπερινῷ ὀλίγοι πάνυ, ἐν δὲ τῷ Ὄρθρῳ οὐδεὶς τῶν Χριστιανῶν ἐνεκκλησιάσθη, ἐκτὸς τοῦ Ἐφημερίου. Οὗτος καταβὰς εἰς τὸν ἱερὸν Ναὸν, ἀνάψας τὰς κανδήλας, κρούσας τὸ σήμαντρον, καὶ ποιήσας εὐλογητὸν, ἤρξατο μόνος ἀναγινώσκειν τὴν τοῦ Ὄρθρου ἀκολουθίαν· τότε βλέπει πέντε ἄνδρας εὐπρεπεῖς καὶ εὐσχήμονας εἰσελθόντες εὐλαβῶς εἰς τὸν Ναὸν καὶ σεμνοπρεπῶς, καὶ προσκυνήσαντες ὡς ἔθος, τοὺς μὲν δύο δεξιόθεν, τοὺς δ' ἑτέρους δύο ἀριστερόθεν ταχθέντας εἰς τὰ στασίδια τῶν ψαλτῶν, τὸν δὲ πέμπτον εἰς τὸ ἀναλόγιον. Καὶ οὗτος μὲν ἀναγινώσκων καὶ κανοναρχῶν διετέλει λαμπρᾷ καὶ διατόρῳ φωνῇ, οἱ δ' ἐπίλοιποι τέσσαρες ἔκ τε τοῦ ἀριστεροῦ καὶ τοῦ δεξιοῦ χοροῦ ἡδέως καὶ λιγυφθόγγως ἔψαλλον τοὺς ὕμνους τοὺς ἱερούς. Ἐξεστηκὼς δ' ὁ ἱερεὺς ἤκουε καὶ ἔβλεπε, δοξάζων τὸν Θεὸν ἀποστείλαντα τοιούτους αὐτῷ βοηθούς, ξένους δοκοῦντας τῷ ἤθει. Ἀλλ' ὅσον ἡσθάνετο τῆς ἐναρμονίου ἐκείνης ἱερᾶς μελῳδίας, τοσοῦτον ἀτενίζει πρὸς τοὺς ἄνδρας, καὶ καταμετρήσας αὐτῶν καὶ ποσότητα καὶ ποιότητα παραβάλλει νοερῶς τοῖς

ἑορταζομένοις ἁγίοις, ὧν ἡ ἐν τῷ εἰκόνι ὁμοιότης ἐδήλου αὐτῷ τὴν ταυτότητα. Ἐπείγεται οὖν, ὅπως ἐρωτήσῃ αὐτούς· ἄνδρες τίμιοι, πόθεν καὶ τίνες ἐστέ; Τίνος ἕνεκεν ἀφίχθητε εἰς τὴν Χίον; Τὶς ὡδήγησεν ὑμᾶς εἰς τὸν ἱερὸν τοῦτον Ναόν; Ἀλλὰ τὸ σεμνὸν καὶ ἁγιοκόσμητον τῆς ἱερᾶς ἀκολουθίας κατεῖχεν ἄτολμόν τε καὶ ἄναυδον, ἐπιφυλαττόμενον καταμαθεῖν καὶ διασαφήσασθαι τὰ συμβαίνοντα μετὰ τὴν ἀπόλυσιν. Οὕτω γοῦν τῆς ἱερᾶς ἀκολουθίας προϊούσης εὐκόσμως, φθάνει καὶ ἡ ἀνάγνωσις. Τότε τίθεται τὸ δισκέλιον ἐν τῷ μέσῳ, καὶ ἡ βίβλος ἐπ' αὐτοῦ, ὁ δὲ ἀναγνώστης ὅμοιος τῷ θείῳ Ὀρέστῃ ἀναγινώσκει τὸ μαρτύριον τῶν Ἁγίων ἐν θυμηδίᾳ πνευματικῇ, καὶ καθαρότητι γλώσσης ἀῤῥήτως τερπούσης. Ἀκούουσι δ' οἱ τέσσαρες μετὰ τοῦ ἱερέως τοὺς μαρτυρικοὺς ἀγῶνας καὶ τὰ παλαίσματα τῶν ἁγίων ἐν ἡδονῇ καὶ προσοχῇ ὅλως ἀδιασπάστῳ. Οὕτω τοίνυν φθάσας ὁ ἀναγνώστης καὶ εἰς τοὺς ἄθλους τοῦ μάρτυρος Ὀρέστου, καὶ προϊὼν ἐπὶ τὰ πρόσω τῆς διηγήσεως, ὅπου ἀπαντᾶται ἡ φράσις αὕτη. «Τότε κελεύει » ὁ Ἀγρικόλαος, κλίνην σιδηρᾶν ἐνεχθῆναι, καὶ ὑπο- » στρωθῆναι πῦρ πολύ, ὥστε αὐτὴν πυρακτωθεῖσαν, » σπινθηρακώδη γενέσθαι, καὶ τὸν Ἅγιον Ὀρέστην πρῶ- » τον ἐπ' αὐτῇ ἐπιθῆναι· ὁ δὲ ἅγιος Ὀρέστης ἐπαγόμε- » νος ἐπὶ τὴν κλίνην ἐδειλίασε,» μεταβάλλει τὴν τελευταίαν λέξιν λέγων ἐμειδίασεν, ἤγουν ἐχαμογέλασεν, ἀντὶ τοῦ ἐδειλίασε. Τὴν ἐναλλαγὴν τῆς λέξεως ταύτης ἀκούσας ὁ τῷ Ἁγίῳ Εὐστρατίῳ παρόμοιος, ἐνατενίσας ὄμματα ἐταστικὰ πρὸς τὸν ἀναγνώστην, διατὶ παραλάττεις, εἶπε, τὸ ῥῆμα; ἀνάγνωθι ὥσπερ ἐστὶ γεγραμμένον. Ἀναγινώσκει λοιπὸν κατ' ἐπανάληψιν, τὰ αὐτὰ λέγων καὶ ἐκ δευτέρου· «ὁ δὲ Ἅγιος Ὀρέστης ἀπαγόμενος » ἐπὶ τὴν κλίνην ἐμειδίασε·» ἐπαναλαμβάνει δὲ καὶ ὁ τῷ Ἁγίῳ Εὐστρατίῳ παρόμοιος, ἐμφαντικώτερον πρὸς αὐτὸν ἀφορῶν· ἀνάγνωθι, ὡς σοι τότε συνέβη· καθότι οὐκ ἐμειδίασας τὴν πυρακτωθεῖσαν κλίνην ὁρῶν, ἀλλ' ἐδει-

λίασας ὄντως. Εἶπε· καὶ ἐν ῥοπῇ ὀφθαλμοῦ ὅλη ἄφαντος ἐγένετο ἡ πεντὰς τῶν ἀνδρῶν, ἐγκαταλιποῦσα τὸν ἱερέα ἐξεστηκότα ἐπιπολὺ διὰ τὸ θαῦμα, καὶ ἄφωνον. Ἀνανήψας οὖν κατ' ὀλίγον, ἀναλαμβάνει τὴν συνέχειαν τοῦ ὄρθρου, καὶ μετὰ τοῦτον ἀναγινώσκει τὰς ὥρας κατὰ τοὺς τύπους. Μετὰ δὲ τὴν ἀκολουθίαν τῶν ὡρῶν, χριστιανῶν τινων ἐν τῷ Ναῷ εἰσελθόντων, ἐξετέλεσε καὶ τὴν ἀναίμακτον θυσίαν πρὸς τὸν Θεὸν, διατελῶν ὅλος ἔκθαμβος. Μετὰ δὲ ταύτην διηγεῖται τὴν παράδοξον ὀπτασίαν τοῖς παροῦσι λεπτομερῶς· οἱ δὲ ἀκούοντες ἐθαύμαζον ξενιζόμενοι, καὶ ἐδόξαζον τὸν Θεὸν τὸν ἐν τοῖς ποιήμασι, καὶ ἐν τοῖς Ἁγίοις αὐτοῦ θαυμαστὸν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας· Ἀμήν.

SISMANOGLIO

ΠΕΡΙΓΡΑΦΗ ΤΟΥ ΝΑΟΥ.

Παρελάβομεν ἐκ παραδόσεως, ὅτι ὁ Κωνσταντῖνος ὁ κτίτωρ ἔπεμψε τοὺς Ὁσίους, ἀναβάντας εἰς τὸ Βυζάντιον, πρὸς παρατήρησιν ὅλων τῶν ἐν τῇ πόλει ναῶν, εἰπών, ἐκτὸς τοῦ ναοῦ τῆς Ἁγίας Σοφίας, λάβετε σχέδιον ἐκ τοῦ ναοῦ, ὅστις φανῇ ἀρεστὸς εἰς ὑμᾶς. Ἐκεῖνοι γοῦν πανταχόσε περιελθόντες, προετίμησαν τὸν μικρὸν ναὸν τῶν Ἁγίων Ἀποστόλων. Κατ' ἐκεῖνον γοῦν ἐγένετο καὶ ὁ ἱερὸς ναὸς τῆς Νεαμονῆς ἐν τῷ τόπῳ τῆς ἀκαταφλέκτου Μυρσίνης, ἔνθα ἡ θεομητορικὴ εὑρέθη εἰκών. Ἐμβαίνοντι δὲ ἀπὸ τῆς πύλης τῆς πρὸς βορρᾶν φαίνεταί σοι λιθόστρωτον, ἐν ᾧ κεῖται πρὸς δυσμὰς τὸ κωδωνοστάσιον μετὰ τοῦ Ναοῦ συνημμένον· πρὸ αὐτοῦ δὲ καὶ ἡ βορεία τοῦ Ναοῦ πύλη (α), δι' ἧς ἐμβαίνων βλέπεις πρὸς νότον ὁμοίαν μικράν, καὶ πρὸς δυσμὰς τὴν τοῦ κωδωνοστασίου ἐπίσης μικράν, ἐφ' ἧς σπιθαμιαῖον τριβλίον ὑπέρκειται, ἐν τῇ προσόψει τοῦ τοίχου ἐνεκτι-

(α) Ἡ πύλη αὕτη φαίνεται ὑστερογενής. Ὁ μὲν Ναὸς ἀνηγέρθη τῷ 1040, τὸ δὲ κωδωνοστάσιον φέρει ἐπὶ τῆς βορείας πλευρᾶς μάρμαρον, ἐφ' οὗ ἐπιγέγραπται· Ἰησοῦς Χριστός. Ἀνηγέρθη ἐκ βάθρου τὸ παρὸν καμπαναρεῖον διὰ κόπου καὶ ἐξόδων κυροῦ Ἀντωνίου Φραγκοπούλου ἐν ἔτει αφιβ',

σμένον, θαυμαστὴν καὶ ἀξίαν λόγου ἔχον τὴν ὄψιν, οὐδέποτε παλαιούμενον ἢ θαμβούμενον, μηδενὶ τῶν λαμπρῶν μετάλλων παρομοιάζον, καὶ ὑπὸ τῶν Εὐρωπαίων περιηγητῶν περιεργαζόμενον ἀλλὰ μηδόλως νοούμενον (α). Τὸ δ' οὖν κωδωνοστάσιον στερεμνίους ἔχον τοὺς τοίχους, ἐξυψοῦται σχεδὸν μέχρι τοῦ θόλου τοῦ Καθολικοῦ, τριώροφον· ἐπὶ δὲ τῆς τρίτης ὀροφῆς εἰσιν ἐξηρτημένοι κατὰ τὰς τέσσαρας καμάρας τέσσαρες κώδωνες πρὸς τὰ τέσσαρα τοῦ ὁρίζοντος μέρη, καὶ δύο ὡρολόγια εὐμεγέθη, τὸ μὲν ἀνὰ 24 ὥρας μετροῦν τὸ ἡμερονύκτιον, τὸ δὲ ἀνὰ δώδεκα, πολλὰ μακρὰν ἀκουόμενον, ὡς τὸν μεγάλον κώδωνα ἐπικατακροῦον (β). Θολοειδὲς δὲ καὶ τοῦτο, ἐπεστεγασμένον διὰ μολύβδου, καθάπερ καὶ σύμπας ὁ θεῖος Ναός, σταυρὸν σιδηροῦν φέρον ὑπεράνω τοῦ ἰδίου θόλου ἐμπεπηγμένον. Εἰσελθὼν οὖν εἰς τὸν Ναὸν διὰ τῆς ῥηθείσης βορείας πύλης, οὐκ εἰς τὸν Προνάρθηκα, ἀλλ' εἰς στενωτόν τι ἐμβαίνεις, διὰ χρωμάτων ἐζωγραφημένον, 24 ποδῶν μῆκος ἔχον, καὶ 12 πλάτος, ὕψος δὲ,

(α) Πολλὰ περὶ τούτου διεμυθολογήθησαν, ὅτι ἦν ἀξίας ἀμυθήτου, ὅτι δι' ἐκείνου, καταστραφεῖσα καὶ Μονὴ καὶ Ναός, ἀνεκτίζοντο πάλιν, καὶ ἄλλα τοιαῦτα γέλωτος ἄξια, ὡς κρίσεως ἄμοιρα. Ὦ εὔπιστοι, διατὶ οὐ κατανοεῖτε, ὅτι καταστρεφομένου τοῦ θείου Ναοῦ, συγκατεστρέφετο κἀκεῖνο, ὅπερ καὶ ἐγένετο; Καὶ τί σκεῦος ἠδύνατο τοιαύτην ἔχειν ἀξίαν; Καὶ τίς ἠδύνατο καθιερῶσαι, ἢ ἐξαγοράσαι τοιοῦτον σκεῦος πολυτιμότατον κατὰ τὸ 1512, ἢ καὶ μετὰ ταῦτα; ἐν ἡμέραις θλίψεως καὶ ὀδύνης, ἐν ἡμέραις δουλείας τε καὶ πενίας; Δυοῖν γὰρ θάτερον ἢ ἔσχεν ἐκ τῶν προτέρων ἡ Μονή, ἢ μετὰ τὸ 1512 ἐπεκτήσατο· ἀλλὰ καὶ κατὰ τὰς δύο περιστάσεις εὑρίσκεται εὐτελοῦς ἀξίας. Τὰ γὰρ βαρύτιμα φιλοῦσιν ἐγκατακρύπτειν, ἀλλ' οὐκ ἐκτιθέναι. Κατέστρεψαν δὲ καὶ τοῦτο ἐν τῇ πανολέθρῳ καταστροφῇ οἱ πολέμιοι, μηδὲν μηδενὸς ἐξ ἐκείνου ὠφεληθέντος. Γ. Φ.

(β) Καὶ οἱ Κώδωνες ἀπώλοντο κατὰ τὸ 1822 καὶ τὰ ὡρολόγια. Καὶ κώδωνας μὲν ἔχομεν αὐτόθι σήμερον τρεῖς, ὡρολόγιον ὅμως οὐδέν. Γ. Φ.

σπιθαμὰς 27 (α). Τοῦτο γοῦν τὸ στενωπὸν διαβὰς ἐμβαίνεις εἰς τὸν Προνάρθηκα διὰ πύλης ἀληθῶς μεγαλοπρεποῦς τε καὶ περικαλλεστάτης, ἧς αἱ παραστάται μονόλιθοι, τεχνηέντως ἐξηργασμένοι ἐκ διαφανοῦς πορφυρίτου λίθου, ὃν ἴασπιν καλοῦσι πολλοί. Ἐντεῦθεν ἄρχεται καὶ ἡ τῶν Βασιλέων οἰκοδομή· τὸ γὰρ ἔμπροσθεν μέχρι τοῦ κωδωνοστασίου προσθήκη τυγχάνει. (β) Ἰασπίζει δὲ καὶ τὸ ἔδαφος τοῦ Προνάρθηκος, καὶ αἱ τοῖχοι μέχρι μέσου ὕψους· ἐκεῖθεν δὲ χρώμασίν ἐστιν ἐζωγραφημένος, σκηνὰς ἱερὰς παριστας τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης, καὶ Ἁγίων ἐκτυπώματα. Τοῦτο δὲ τὸ ἔδαφος ἐπιμηκέστερον ὂν ἀπὸ Ἄρκτου πρὸς τὴν Ἀντάρκτον, καὶ εἰς δύο ἐξεχούσας κυλινδροειδεῖς πλευρὰς τελευτῶν, ὧν ἑκάστη ἓν φέρει παράθυρον, (γ) τὸ μὲν μῆκος ἀπὸ τοῦ νότου πρὸς τὸν βορρᾶν 51, τὸ δὲ πλάτος ἀπ' ἀνατολῶν πρὸς δυσμὰς 21 ἔχει ποδῶν. Μετὰ δὲ ταύτας τὰς κυλινδροειδεῖς

(α) Τοῦτο διαιρετέον εἰς δύο· εἰς τὸ ἀπὸ τῆς μεγάλης Πύλης τῆς δυτικῆς τοῦ Ναοῦ, μεχρισοῦ καταλήγουσι τὰ τόξα, καὶ ἀπ' αὐτῶν μέχρι τῆς ἀνατολικῆς βάσεως τοῦ κωδωνοστασίου. Καὶ τὸ μὲν πρῶτον κτίσμα ἐστὶ βασιλικὸν, προπύλαιον τοῦ ὅλου Ναοῦ, ἐπὶ τόξων ἐσεγασμένον, κυλινδροειδῆ φέρον ὄροφον, ἀνοικτὸν δὲ κατὰ τὰ τρία τόξα πρὸς βορρᾶν καὶ δύσιν καὶ νότον, Σημαντὴρ πάλαι καλούμενον, ὡς ἔχον ἐπὶ τῶν τόξων ἐξηρτημένα σήμαντρα σιδηρᾶ. Ἔφερε δὲ καὶ παρὰ τὴν μεγάλην πύλην ἔξωθεν τοὺς κτίτορας βασιλεῖς ἐζωγραφημένους. Τὸ δ' ἐντεῦθεν μέχρι τοῦ κωδωνοστασίου ἀφιλόκαλος προσθήκη τυγχάνει, ἐπικαθημένη, ὥσπερ λήμη τις, εἰς τὸν ὀφθαλμὸν τοῦ Ναοῦ. Ἡ πρὸς δυσμὰς οὖν μεγάλη πύλη εἰς τὸν Προνάρθηκα ὁδηγοῦσα τὸν εἰσιόντα, μεγαλοπρεπής ἐστιν, ὡς ἡ κυρία μεγαλοπρεποῦς οἰκοδομήματος πύλη· ἀλλ' ἡ προσθήκη ἐπικαλύπτει ὡσεὶ μέλαν νέφος, τὴν λάμψιν ἐκείνης, καὶ ἀμβλυωποῦντα παρίστησι τὸν Ναόν. Γ. Φ.

(β) Οὐχ ἅπαν. Ὅρα τὴν Β'. σημείωσιν. Γ. Φ.

(γ) Τὸ πρὸς βορρᾶν ἐγὼ ἠνέωξα. Γ. Φ.

ἐξοχάς, ὀροφωμένας τμήμασι σφαίρας, σχηματιζούσας τὴν οἰκοδομὴν εἰς Σταυρὸν (α), τρεῖς θόλοι στεγάζουσιν ὡς τρία βασιλικὰ διαδήματα τὸν Πρόναον τοῦτον, ὧν ὁ μέσος μείζων τοῦ πρὸς βορρᾶν καὶ τοῦ πρὸς νότον, ἐπὶ τεσάρων στηριζόμενος μαρμαρίνων στηλῶν, ὧν αἱ μὲν πρὸς ἀνατολὰς πορφυραῖ, αἱ δὲ πρὸς δυσμὰς λευκαί (β). Οἱ δὲ πλάγιοι θόλοι ἐπὶ τόξων στηρίζονται, τὸ αὐτὸ ὕψος ἔχοντες σπιθαμῶν 49. Ἐν δὲ τῷ μέσῳ ἐδάφει πέντε φέρει κύκλους μονολίθους πορφυροῦς τοὺς τέσσαρας, τὸν δὲ πέμπτον μέλανα ἐν τῷ μέσῳ ψήφοις πολυχρόοις πεπικιλμένους, ἀξιοθέατον σύμπλεγμα, τοὺς πέντε ἄρτους ὑποδηλοῦν, ἐφ' ὧν τελεῖται καὶ ἡ λιτὴ τῶν ἑορτῶν, ἐξ οὗ καὶ ὁ Πρόναος κοινῶς παρ' ἡμῖν Λιτὴ ὀνομάζεται. (γ) Φέρει δὲ πρὸς ἀνατολὰς ὁ Προνάρθηξ ἐκ λευκοῦ μαρμάρου πύλην εὐμεγέθη κατὰ τὸ μέσον τῶν δύο στηλῶν, δι' ἧς ἐμβαίνεις εἰς τὸν Νάρθηκα, τὸ μέσον διακρατοῦντα τοῦ ἱεροῦ οἰκοδομήματος. Καὶ ὁ μὲν Προνάρθηξ ἀπὸ τὰ μέσα τοῦ στενωποῦ, τῆς Θεοδώρας εἰκάζεται κτίσμα, ὁ δὲ Νάρθηξ καὶ τὰ ἐντεῦθεν τοῦ Κωνσταν-

(α) Ἀλλὰ καὶ ἡ μέχρι τοῦ Προνάρθηκος κτίσις τοῦ Κωνσταντίνου σχηματίζει Σταυρὸν, βραχείαις πτέρυξι, κατὰ τὸ Βυζαντινὸν ὕφος. Γ. Φ.

(β) Τὴν πρὸς νότον πορφυρᾶν στήλην ἔθραυσαν οἱ Ὀθωμανοὶ τοῦ Ναυλίου ἐλθόντες οὐκ ἐθελημοὶ εἰς τὴν Χίον μετὰ τὴν παράδοσιν τῶν φρουρίων. Ταύτην δ' ἀντικατεστήσαμεν δι' ἀκαταλλήλου λευκῆς ἀπὸ τῶν τοῦ Κάμπου ἐπαύλεων ὠνῇ μετακομισάμενοι, ἐφ' ἧς καὶ τὸ πρὸς ἀνατολὰς τοῦ τε θόλου καὶ τόξου ἐτιστηρίξαντες, ὡροφώσαμεν, μετὰ τῆς στήλης συγκατακρημνισθέν. Γ. Φ.

(γ) Τὴν ὀρθομαρμάρωσιν ἐνταῦθα ἐξ ὁλοκλήρου κατέστρεψαν, τὸ ἔδαφος κατέσκαψαν, καὶ τὸ σύμπλεγμα τῶν κύκλων ἠλλοίωσαν διὰ τοῦ σιδήρου. Τὴν λάρνακα τῶν Ὁσίων καὶ διὰ πυρὸς καὶ σιδήρου ἠφάνισαν πρὸς τὴν βορείαν ἐξοχὴν ἱσταμένην τῷ 1822. Γ. Φ.

SISMANOGLIO

φίνου. Διὰ τοῦτο καὶ μετὰ τὴν συνήθη ὀρθομαρμάρωσιν ἐμψήφους φέρει ζωγραφίας, ἁγίων ἐκτυπώμασι καὶ σκηναῖς ἁγίαις τῆς θείας κεκοσμημένος Γραφῆς. Ἐξέχει δὲ τὸ ἐκτύπωμα τοῦ Σωτῆρος ἡμῶν, ἐπάνωθεν τῆς πύλης τοῦ Καθολικοῦ ἐπὶ τὸ κολοσιαῖον ἐξειργασμένον. Μαρμαρόστρωτον δ' ἔχει καὶ οὗτος ὁμοίως τὸ ἔδαφος, οὗ τὸ μὲν πλάτος 15, τὸ δὲ μῆκος 31 ποδῶν ἐστι, τὸ δ' ὕψος σπιθαμῶν 34. Καὶ τὸ μὲν μέσον τῆς στέγης ἔχει σφαιροειδὲς, τὰ δὲ πλάγια κυλινδροειδῆ, τό τε μεσημβρινὸν καὶ τὸ βόρειον· στενόμακρος γὰρ ὤν, ἀπὸ μεσημβρίας ἐξαπλοῦται πλαγίως πρὸς ἄρκτον (α)· ἔχων καὶ μικρὰν

(α) Ἐνταῦθα ἐτόλμησα μεταβαλεῖν πως τὸ σχέδιον τοῦ ἱεροῦ Ναοῦ ἡγουμενεύων κατὰ τὸ 1857. Τὸ γὰρ σύνολον τούτου ἐμελετήσας, ἐτεκμηράμην· ὅτι ὁ ἀοίδιμος Κωνσταντῖνος ἐξετέλεσε τὴν οἰκοδομὴν, ἀπὸ τοῦ ἱεροῦ βήματος μέχρι τῆς πύλης τοῦ Προνάρθηκος· κατέμπροσθεν δὲ τῆς πύλης, ἣν δεδομημένος ὁ Σημαντήρ. Τούτῳ δὲ τῷ σχεδίῳ ἐχρήσατο καὶ ὁ τὴν Στρατηγούσεναν διαδείμας. Μαρτύρια δὲ, ὅτι σώζονται εἰσέτι οἱ τύποι δύο δυτικῶν παραθύρων, καὶ ἐν τῷ μέσῳ ὑπὲρ τὴν πύλην τύπος ἡμίσεος. Ὅτε δὲ ἔκρινον τὴν προσθήκην τοῦ Προνάρθηκος ἀναγκαίαν, καὶ τοῦτο ἴσως βασιλευούσης τῆς Θεοδώρας, ἔφραξαν τὰ παράθυρα. Ὁ Ναὸς οὖν διαιρεθεὶς εἰς τρία μέρη κεχωρισμένα ἐντὸς τοῦ ἱεροῦ Βήματος προσελάβετο μὲν μέγεθος, ἀλλ' ἀπώλεσε καὶ τὴν τοῦ φωτὸς καὶ τὴν τοῦ ὅλου ἀναλογίαν. Ὅθεν οὐ μόνον τοῦ ἀναλόγου φωτὸς ἐστεροῦντο, οἱ ἐν τούτοις ἱστάμενοι κατὰ τὰς συνάξεις τὰς ἱερὰς, ἀλλὰ καὶ τῆς φωνῆς δυσκόλως ἀντελαμβάνοντο, μὴ κοινωνουσῶν ἄλλως τῶν κατατομῶν, εἰμὴ διὰ τῶν ἐν μέσῳ πυλῶν. Διὰ ταῦτα μεταπεμψάμενος ἀρχιτέκτονα, ἤνοιξα δεξιόθεν τε καὶ ἀριστερόθεν τοῦ Καθολικοῦ καὶ τοῦ Νάρθηκος ἔτι δύο πύλας ἑτέρας ἐξειργασάμενος διὰ τούτων τὴν ἐνδεχομένην ἑνότητα τοῦ Ναοῦ, ἀνοίξας καὶ τὰ προλεχθέντα παράθυρα, κεκλεισμένα διὰ παχυτάτου γύψου. Ἐπλάτυνα δὲ καὶ τὰ ὑπάρχοντα τῶν παραθύρων, τοῦ τε Καθολικοῦ καὶ τῶν δύο Νάρθηκων, καὶ μὴ ὄντα τινὰ διανοίξας, ἐνέτεινα ὡς οἷόν τε διὰ πλείονος φωτὸς τὸν

θύραν πρὸς τὴν βορείαν πλευρὰν, δι' ἧς ἐξερχόμεθα εἰς τὸν Σημαντῆρα, προσθήκην ἄχαριν, γενομένην, ὡς μοι δοκεῖ, ἅμα τῇ προμνησθείσῃ προσθήκῃ παρὰ τὸ κωδωνοστάσιον καὶ τὸν παλαιὸν Σημαντῆρα, ἐκτυφλωθέντα καὶ τοὺς τρεῖς ὀφθαλμούς. Ἔστι δὲ καὶ ὁ ἀδέξιος οὗτος Σημαντὴρ ἐστηριγμένος ἐπὶ τῶν βορείων πλευρῶν τοῦ Ναοῦ, ὑψῶν κεφαλὴν ὡς λεκάνην ἐπὶ τόξων τριῶν οὐκ εὐσχήμων. Ἐκ δὲ τοῦ Νάρθηκος ἐμβαίνεις εἰς τὸ Καθολικὸν διὰ πύλης ἰασπιζούσης. Τετράγωνον δὲ τοῦτο 30 ποδῶν πλάτος καὶ τοσούτων μῆκος ἔχον, ὕψος δὲ ὀργυιῶν ὀκτὼ καὶ ἡμίσεος ἀπὸ τοῦ ἐδάφους μέχρι τοῦ κέντρου τοῦ θόλου. Ἐνταῦθα ἡ τοῦ βασιλέως φιλοτιμία καταφαίνεται εὐρυτέρα. Μέχρι γὰρ τοῦ μέσου ζωηρὰν ἔχει καὶ στίλβουσαν τὴν ὀρθομαρμάρωσιν· κεκόσμηται δὲ ὁμοιάζουσι τῷ σχήματι καὶ χρώματι καὶ μεγέθει κατεναντίοις μαρμάροις, ἐκ Κεφαλοβούνων λελαξευμένοις, ἅπερ ὁ πρίων ἐλέπτυνε, ἡ σμίλη διέγλυψε, ἡ τρίψις ὠμάλισε, καὶ κατέστησαν ἀπαστράπτοντα. Ὑπεράνωθεν δὲ τῆς ὀρθομαρμαρώσεως ὀκτὼ ἀψίδες εἰσιν, ὀκτὼ μεγάλας τῶν ἑορτῶν διαγράφουσαι διὰ ψηφίδων παντοιοχρόων, ὧν διαπρέπει τὸ χρυσοειδές. Τούτων αἱ μὲν τέσσαρες αἱ πρὸς τὰ τέσσαρα μέρη τῆς σφαίρας· τὴν Ἀνα-

---

τούτου λαμπρότητα, εὐκρινωτέρας ἐγκαταστησάμενος τοῖς ἐκκλησιαζομένοις τὰς ἱερὰς τελετουργίας καὶ προσευχάς. Τρία δέ τινα, καί τοι βουλόμενος, οὐ διεπραξάμην· πρῶτον ἀφελεῖν τὴν παρὰ τὸ κωδωνοστάσιον χυδαίαν κτίσιν, καὶ διανοῖξαι τὸν Σημαντῆρα, καὶ τὴν Κυρίαν πύλην πασιφανῆ καταστήσασθαι· δι' ἧς ἐγκατοπτρίζεται ἡ τοῦ ἱεροῦ Ναοῦ καλλονή· δεύτερον καθελεῖν τὸν πρόσθετον Σημαντῆρα· καὶ τρίτον τὰ ἐντὸς τοῦ Ναοῦ εἰρημένα πρώην ἀνοίγματα μέχρις ἀψίδων ἐκτεῖναι· ἀλλὰ τούτων μὲν οὐχ ἡψάμην, ὅπως μὴ καθέλω τοίχους ἐμψηφωμένους· ἐκείνων δὲ, ἵνα μὴ πόρρω τῆς ἀνάγκης δόξω καινοτομεῖν. Γ. Φ.

τολήν, τὴν Δύσιν, τὴν Μεσημβρίαν, τὴν Ἄρκτον, κογχοειδὲς σχῆμα ἔχουσιν· αἱ δὲ πρὸς τὰς τέσσαρας γωνίας θολοειδές· ὧν ἡ μὲν πρὸς Ἀνατολὰς τὴν Γένησιν διαζωγραφεῖ, ἡ δὲ μετ' αὐτὴν γωνιώδης τὴν Ὑπαπαντήν, ἡ πρὸς Νότον τὴν Βάπτισιν, ἡ δὲ μετ' αὐτὴν γωνιώδης τὴν Μεταμόρφωσιν· ἡ πρὸς Δυσμὰς τὴν Σταύρωσιν, ἡ δὲ μετ' αὐτὴν γωνιώδης τὴν Ἀποκαθήλωσιν· ἡ πρὸς Βορρᾶν τὴν Ἀνάστασιν καὶ ἡ μετ' αὐτὴν τέλος τὸν ἱερὸν Εὐαγγελισμόν. Ὑπεράνω δὲ τούτων περιστρέφεται ἡ ζώνη τοῦ θόλου, ὃς ἐν μὲν τῷ μέσῳ φέρει τὸν Παντοκράτορα, ἐν δὲ τῇ περιφερείᾳ τοῦ θόλου ἀγγέλους φέρει ἐσχηματισμένους δώδεκα ὁλοσώμους. Ὑποκάτωθεν δὲ τῆς ζώνης τοῦ θόλου ἐπὶ τὰ ὁμαλὰ τῶν τοίχων, πέριξ τῶν ἀψίδων, οἱ δώδεκα Ἀπόστολοι ἐζωγράφηνται ψηφίσιν ὁμοίοις, ἐν δὲ ταῖς γωνίαις οἱ τέσσαρες Εὐαγγελισταί, ἐν οἷς καὶ τὰ πολυόμματα Χερουβεὶμ πρὸς Ἀνατολὰς, καὶ τὰ ἑξαπτέρυγα Σεραφεὶμ πρὸς Δυσμὰς ὁμοίῳ τῷ τρόπῳ, ὡς εἶδον ταῦτα μὲν ὁ Ἰεζεκιήλ, ἐκεῖνα δ' ὁ Ἡσαΐας, οἱ μεγάλοι θεηγόροι προφῆται. Ἐσχηματίσθησαν δὲ αἱ ἀψίδες, ὅπως ἐπ' αὐτῶν βασισθῇ ὁ θόλος, φέρων ὑπὲρ τὴν ζώνην τοξουψῆ παράθυρα δώδεκα, καὶ δύο ὑπὸ τὰς δύο κόγχας τὴν Νοτίαν καὶ τὴν Βορείαν, καὶ τῶνδε κάτωθεν παρὰ τὴν στεφάνην τῶν στασειδίων δύο μεγάλα (α), καὶ ἕτερα δύο στενώτερα δυτικώτερον. Καὶ ἡ μὲν ὀρθομαρμάρωσις ἐξυψοῦται ἐπέκεινα τῶν ὀκτὼ πήχεων, ἡ δ' ἐμψήφωσις ὑψηλοτέρα τυγχάνει. Τόξοις δὲ συνδέδεται ἡ οἰκοδομὴ κύκλῳ, ἢ ἀψῖσιν, ὑφ' ἃς πρὸς ἀνατολὰς ἐτεχνουργήθησαν τὰ εἰκονοστάσια, τρεῖς οὔσας καὶ ταύτας, ὧν ἡ μέση ὑψηλοτέρα. Μετ' αὐτὰς δ' ἕπεται τὸ ἱερὸν βῆμα ψηφίσι

(α) Ταῦτα ἔφερον ἐν τῷ μέσῳ παχὺ ἐπιμηκες μάρμαρον κατὰ κάθετον, ἅπερ ἀφελὼν τὸ 1857, ἐμεγάλυνα, πρὸς πλείονα φωτισμόν. Γ. Φ.

καὶ μαρμάροις ὁμοίως κεκοσμημένον, τρεῖς φέρον κόγχας, ὑπὸ δὲ τὴν μέσην, τὴν ἁγίαν τράπεζαν, ἔνθα ἡν ἐκτρεφομένη καὶ ἡ Μυρσίνη ἡ ἀκατάφλεκτος, ἐφ' ἧς ἀνεκαλύφθη ἐξηρτημένη ἡ θεία εἰκών. Καὶ ἐν μέσῳ μέν ἐστιν ὁ τῆς Θεοτόκου ὁλόσωμος τύπος, εἰς δὲ τὰς πλαγίας κόγχας εἰδύο Ἀρχάγγελοι. Καὶ αἱ μὲν πλάγιαι κόγχαι ἀνὰ ἓν παράθυρον φέρουσιν, ἡ δὲ μέση τρία, καὶ παρὰ τὴν τοῦ Βήματος ὀροφὴν δύο εἰσι, τὸ μὲν πρὸς Βορρᾶν τὸ δὲ πρὸς Νότον. Ὁ αὐτὸς δὲ λίθος κατακοσμεῖ τὰ ἐδάφη, καὶ τὸ τοῦ Βήματος δηλονότι, καὶ τὸ τοῦ Καθολικοῦ, ὅπερ καὶ ὀκτὼ κύκλοις διαποικίλλεται μαρμαρίνοις, καὶ ψηφίσι λιθίνοις, φέρον ἐν τῷ μέσῳ τέσσαρα τετράγωνα μάρμαρα (α). Τριάκοντα δύο στῆλαι πολύγωνοι μὲν, ἀλλὰ λεπταὶ καὶ λευκαὶ, κοσμοῦσι τοὺς τοίχους τοῦ Καθολικοῦ, κατ' ἀναλογίαν ὑψούμεναι ἀπὸ τοῦ ἐδάφους μέχρι τῆς ζώνης τοῦ θόλου, ἀνὰ τέσσαρες κατὰ ζεῦγος· καὶ αἱ μὲν κάτωθεν 12 1/2 σπιθαμῶν, αἱ δὲ ὑπεράνω τούτων 9, καὶ 4 αἱ βάσεις αὐτῶν (β). Ἵσταται δὲ πρὸς ἀνατολὰς τῆς ἁγίας τραπέζης, κατὰ τὸν τόπον τῆς εἰκονοφόρου Μυρσίνης, Ἀρτοφόριον ἀργυροῦν, θαυμαστὸν τὴν τέχνην καὶ τὴν ἀξίαν (γ). Ἐκ τούτων δῆλον, ὅτι ἀξιοθέατος ὁ Ναός· διὸ καὶ γυναῖκες ἐπεθύμησαν θεάσασθαι, κινδυνεύσασαι, καὶ ἄνδρες τρέχουσιν εἰς προσκύνησιν, οὐ μόνον ἐκ τῆς

(α) Ταῦτα μὴ νόει μετὰ τὸ 1822 ἁλώβητα, ἀλλὰ κατατεθρυσμένα πολλαχοῦ, καὶ διεῤῥηγμένα, καὶ μεταβεβλημένα, καὶ κατὰ τὰ ἐδάφη, καὶ κατὰ τοὺς τοίχους, καὶ ἔσωθεν, καὶ ἔξωθεν, καὶ πανταχοῦ. Γ. Φ.

(β) Πολλὰς τούτων ὑπὸ τοῦ πυρὸς καὶ τοῦ σιδήρου θραυσθείσας τῷ 1822, ἀντικατεστήσαμεν ἐκ νέου, μεταπεμψάμενοι ἐκ τῆς Τήνου. Γ. Φ.

(γ) Ἐπετάσθη καὶ τοῦτο μετὰ τῶν ἄλλων πολυτίμων σκευῶν τὸ 1822, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων, χρίμασιν οἷς οἶδε Κύριος. Γ. Φ.

πλησίον, ἀλλὰ καὶ ἐκ τῆς μακρὰν, ἐν οἷς συγκαταρίθμησον καὶ Ῥῶσσον ἱερομόναχον Βασίλειον τ' ὄνομα, ἐκφωνήσαντα ἐν τῇ ἐπισκέψει «νικῶσι τὴν φήμην τὰ πράγματα» καὶ Μαρτῖνον τὸν Βιγγαῖον, ἀναφέροντα ἐν τῇ ἑαυτοῦ συγγραφῇ τὸν θεῖον τοῦτον Ναὸν ἐν πολλοῖς ἐγκωμίοις διά τε τὸ σχῆμα, τὴν διακόσμησιν, τὴν δαπάνην, καὶ τὴν γραφήν. Καὶ ταῦτα μετὰ τὸ πυρποληθῆναι καὶ ἐν τῷ ἡμετέρῳ αἰῶνι, ὡς καὶ ἄλλοτε πρότερον, τὰ αὐτὰ πεπονθέναι εἰκάζεται, ἐκ πολλῶν τεκμηρίων, ἅπερ καταλείπει τὸ πῦρ. Ἀλλ' ἐν τῇ τελευταίᾳ πυρκαϊᾷ κατὰ τὴν τῶν παλαιοτέρων παράδοσιν, ὡς διηγεῖται ἡμῖν ὁ πνευματικὸς Κωνστάντιος Καλησπέρης, μετατεθεῖσα οἴκοθεν ἡ ἁγία Εἰκών, ἡ παλαιοτάτη τῆς Θεομήτορος, εὑρέθη κρεμαμένη ἀδιαλώβητος ἐν τῷ θρόνῳ, διασωθέντι θαυμασίως ἐκ τοῦ φθοροποιοῦ πυρός (α). Τὰ δὲ κανδήλια τοῦ Καθολικοῦ 41 τὴν ποσότητα, καὶ τὰ ἐν τοῖς Νάρθηξι 33, ἁπαξάπαντα εἰσιν ἀργυρᾶ, διαπρέποντα τῷ κάλλει καὶ τῇ τέχνῃ καὶ τῷ μετάλλῳ (β) Οἱ δὲ θόλοι σιδηροῖς κοσμοῦνται σταυροῖς, ἔξωθεν ὑψουμένοις ὡς ἔθος, εἰς δόξαν Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, οὗ τὸ ἄφατον ἔλεος, ταῖς πρεσβείαις τῆς Παναγίας αὐτοῦ Μητρὸς, εἴη μετὰ πάντων ἡμῶν. Ἀμήν.

(α) Ἦλθε καὶ νῦν, ἱερὲ Νικηφόρε, χεῖρονα ἰδεῖν τῶν ἱστορημένων σοι, ἀλλὰ τὴν ἁγίαν Εἰκόνα καὶ αὖθις θαυμασίως διασωθεῖσαν, ὡς καὶ ἐν ταῖς ἄλλαις καταστροφαῖς ὁμολογουμένως, αἵτινες ὡς ἐκ τῆς ἱστορίας ἐγένοντο οὐκ εὐάριθμοι, καὶ ἀναλόγως ὀλέθριαι, ὡς πρὸς τὴν Μονὴν, καί τοι οὐκ ἐνεγράφησαν. Γ. Φ.

(β) Καὶ ταῦτα μεθ' ἑνὸς κιβωτίου πλήρους πολυτίμων Σταυρῶν, περὶ τοὺς ἑκατὸν, τῷ 1822 ἐσκυλεύθησαν ἐξ ὁλοκλήρου, καὶ ἠφανίσθησαν. Γ. Φ.

ΙΣΤΟΡΙΑ ΤΗΣ ΝΕΑΜΟΝΗΣ.

Θαυμασίαν ἔλαβε τὴν ἀρχὴν καὶ σύστασιν ἡ Νεαμονὴ, ὡς ἐκ τοῦ βίου τῶν Ὁσίων πατέρων ἡμῶν Νικήτα Ἰωάννου καὶ Ἰωσὴφ ἐστιν οἰκάσαι. Πῶς δὲ οἰκισθεῖσα ἐπροικοδοτήθη ὑπὸ τῶν Βασιλέων, καὶ αὐξηθεῖσα οἴκοθεν, αὐτεδιοικεῖτο, καὶ ἐκυβερνᾶτο αὐτοδέσποτός τε καὶ αὐτεξούσιος καὶ ἀσύδοτος ἐν χρόνῳ πολλῷ· καὶ τίνα ὑπόληψιν ἔχαιρον ἐν τῷ Κόσμῳ οἱ ἐν ταύτῃ μονάζοντες, ἄλλην πηγὴν πρὸς διασάφησιν ἀσφαλεστέραν τε καὶ βεβαιοτέραν οὐδεμίαν ἔχομεν, εἰ μὴ τὰ εὐσεβῆ τῶν εὐσεβῶν Βασιλέων χρυσόβουλλα, τὰ περὶ ταύτης ἰδίως διαλαμβάνοντα Ὁ ἐν μακαρίᾳ τῇ λήξει γενόμενος Κτίτωρ τῆς ἐν Χίῳ Νεαμονῆς Κωνσταντῖνος ὁ Μονομάχος ἐν τῷ κτίζεσθαι εἰσέτι τὸν θεῖον τῆς Θεοτόκου Ναὸν, δύο παρελθόντων ἐνιαυτῶν, φοβούμενος ἴσως τὸ ἄωρον τοῦ τοῖς πᾶσιν ἐπικειμένου θανάτου, προλαβὼν ἐπροίκισε τὴν Μονὴν ὡς θυγατέρα γνησίαν, καθοσιώσας πάμπολλα καὶ ἐν αὐτῇ τῇ νήσῳ, καὶ ἐκτὸς αὐτῆς· καὶ οὐ μόνον κτήμασιν ἐπλούτισε τὴν Μονήν, ἀλλὰ καὶ ποικίλοις ἄλλοις αἱτηρεσίοις, ὡς ὄλλον ἐκ τῶν ἔτι σωζομένων αὐτοῦ χρυσοβούλλων (α). Οὕτω φερειπεῖν ἀπὸ τῶν κατὰ τὴν Α-

(α) Καὶ ἀλλαχοῦ σεσημείωται, ὅτι οὐδὲν ἤδη τῶν ἀναφερομένων σώζεται χρυσοβούλλων. Γ. Φ.

ταίαν Βησσῶν (α), ὑποκειμένων εἰς τὸν Τροπαιοφόρον, εἰς τὴν ἄλλως λεγομένην δηλονότι μονὴν τῶν Μαγγάνων, ὑπὸ τοῦ αὐτοῦ αὐτοκράτορος κτισθεῖσαν ἐν Βυζαντίῳ, ἀπ' αὐτῶν, λέγω, διακελεύει ἐτησίως δίδοσθαι τῇ Νεαμονῇ σῖτον μοδίων χιλίων· χωρὶς δὲ ἀπὸ τῆς αὐτῆς Μονῆς τοῦ Τροπαιοφόρου ἔτι τράκοντα μοδίους, καὶ νουμίων, φησί, μηλιαρίσια τριάκοντα (β). Τὸ δὲ περίεργον τούτων τοὺς τριάκοντα κεχωρισμένους μοδίους, ὧν ἀνωτέρω ἐμνήσθημεν, διακελεύει ἐκπέμπεσθαι εἰς τὴν ἐν Χίῳ Νεαμονὴν οὐ σῖτον, οὐδ' ἄλευρον, ἀλλ' ἄρτον διπυρίτην, ἐτοιμαζόμενον ὑπὸ τῆς πολυχειρίας τῆς τοῦ Τροπαιοφόρου διὰ τοὺς Νεαμονησίους, ὅπως μὴ ἔχοιεν πράγματα εἰς ἀρτοποιίας καταγινόμενοι, ἀλλ' ἀφροντιστοῦντες ἐν τούτοις, εὔχοιντο καὶ ὑπὲρ τῆς ἐκείνου βασιλείας ἐν διανοίᾳ γαληνιώσῃ. Καὶ ἰδοὺ αὐταὶ τοῦ χρυσοβούλλου αἱ φράσεις· « Ἀλήθεσθαι γεμὴν καὶ τοὺς καθ' ἕκαστον χρόνον παρεχομένους τοῖς Μοναχοῖς τριάκοντα τοῦ σίτου » μοδίους, καὶ ζυμοῦσθαι, καὶ εἰς ἄρτον ἀποκαθίστασθαι τέλειον, παρὰ τῶν τῆς Μονῆς τοῦ Τροπαιοφόρου » διακελευόμεθα· ἵνα μηδ' ἐντεῦθεν οἱ τῆς ἐν Χίῳ Μονῆς » πράγματα ἔχοιεν, φυράμασι καὶ ζύμῃ (γ) προσανέχοντες, καὶ περὶ τὴν ἀρτοποιίαν ἐπασχολούμενοι, ἀλλὰ

(α) Ποῦ αἱ Βῆσσαι τῆς Ἀττικῆς, καὶ τίς ἡ Ἀταία; ἡμῖν ἄδηλα. Γ. Φ.

(β) Numium, Miliaricium λέξεις τοῦ παρακμάζοντος λατινισμοῦ ὧν τὸ μὲν νούμιον, νόμισμα ἦν ἀπὸ Νουμᾶ τοῦ βασιλέως τῆς Ῥώμης, ἀδήλου ποσότητος, ὡς Ἐπιφάνιος Κύπρου περὶ σταθμῶν. Τὸ δὲ μηλιαρίσιον δόμα στρατιωτικὸν ὁ αὐτὸς, ἀδήλου ποσότητος. Τὸ νουμίων, μηλιαρίσια τριάκοντα δηλοῖ ἴσως ὡς ἐκ τῶν λατινίδων λέξεών ἐστιν εἰκάσαι, καὶ δηναρίων τριάκοντα χιλιάδας κατ' ἔτος, καθολικῶς ἐκλαμβανομένης τῆς λέξεως. Ὅλως γὰρ ἀνεξήγητον ἀφῆκεν ὁ συγγραφεύς. Δηνάριον δὲ νόμισμα ῥωμαϊκὸν ἀξίας 3 1/2 ὀβολῶν, ἴσως, ἢ περίπου δραχμῆς. Γ. Φ.

(γ) Γραπτέον ἴσως ζύμαις. Γ. Φ.

» τέλειον καὶ ἐν τούτῳ ἀφροντιστοῦντες, θερμότατα τῆς » βασιλείας ἡμῶν ὑπερεύχωνται (α).

Ἐν τούτοις δὲ καὶ τὴν Μονὴν αὐτοδέσποτον εἶναι θεσπίζει, καὶ αὐτεξούσιον, καὶ ἐλευθέραν παντὸς προσώπου βασιλικοῦ, ἀρχοντικοῦ, καὶ ἀρχιερατικοῦ· ὁμοίως δὲ καὶ τοὺς ταύτης δούλους αὐτῇ μόνῃ διακελεύει ὑπείκειν καὶ πείθεσθαι. Τὸν δ' ἐν αὐτῇ ἡγουμενεύοντα αὐτοδιοικεῖσθαι, καὶ αὐτῷ μόνῳ τοὺς Μοναχοὺς ὑπακούειν. Ἀνέθηκαν δὲ χωρὶς καὶ αἱ βασιλίδες, ἥ τε Ζωὴ καὶ ἡ Θεοδώρα, αἱ πορφυρογέννητοι ἀδελφαί, οὐκ ὀλίγα, ἅτινα λεπτομερῶς μὲν ἀγνοοῦμεν ὡς ἀπολωλότων τῶν ἑαυτῶν χρυσοβούλλων, γενικῶς δὲ διαγινώσκομεν, ἐκ τῶν σωζομένων (β) χρυσοβούλλων Κωνσταντίνου τοῦ Δούκα, ὃς ἐπικυροῖ τὰς ὑπ' ἐκείνων ὡρισμένας δίδοσθαι τῇ Νεαμονῇ κατ' ἐνιαυτὸν χρυσοῦ δύο λίτρας. Πολλοὶ δὲ καὶ τῶν ἐντοπίων, πρὸς τὴν Μονὴν ἔχοντες εὐλαβῶς, ἀνέθηκάν τινα κατὰ δύναμιν. Οὐκ ὀλίγα δὲ καὶ τῶν ἐν αὐτῇ διαβιούντων Μοναστῶν κατὰ καιροὺς πολλοὶ ἀφιέρωσαν, τὰ μὲν κληρονομοῦντες ἐξ οἰκείων γονέων, τὰ δὲ καὶ ὠνούμενοι (γ). Τοσαύτην δ' ἐκτήσατο φήμην ἡ Νεαμονὴ προϊόντος τοῦ χρόνου, καὶ τοσοῦτον παμπόθητος ἦν καὶ γλυκεῖα τοῖς ἐντοπίοις, ὥστε καὶ πολλὰ τῶν ἰδίων τέκνων ὀνοματοθετοῦντες τῷ ὀνόματι τῆς Μονῆς, τὸ μὲν θῆλυ Νεαμονήταν, τὸ δὲ ἄρρεν Νεαμονήτην ὠνόμαζον (δ). Δι' ἑτέρου δὲ χρυσοβούλλου

(α) Ἴσως ὑπερεύχοιντο. Γ. Φ.

(β) Ἀλλ' οὐχὶ νῦν. Γ. Φ.

(γ) Ὅτε οἱ Γενουήνσιοι ἀρπᾶκαν τὴν Χίον, ἄδεται, ὅτι τῶν προηγουμένων τις Καλαμωτήσιος, ἐξηγόρασεν ἐν Καλαμωτῇ τὰ πλεῖστα τῶν Νεαμονικῶν ἀνὰ δεκαὲξ παράδων τὴν ὀργυιάν. Μαρτυροῦσι δὲ ταῦτα καὶ πολλαὶ ὀνομασίαι τοποθεσιῶν· καί τινα χειρόγραφα συμβόλαια ἐξ ἐκείνου τοῦ χρόνου. Γ. Φ.

(δ) Τὸ Νεαμονήτης ἔτι καὶ νῦν ἀκμάζει εἴς τινας τῶν ἐν Μα-

ὁ ἀείμνηστος Κωνσταντῖνος ὁ Μονομάχος θεσπίζει, ὅτι οὐδενὶ τῶν κριτῶν ἐπιτρέπεται κρίνειν τοὺς Νεαμονησίους δι' οἱανδήποτε ὑπόθεσιν γενικήν τε ἢ μερικήν, τοὺς δὲ Μοναστὰς δικαιοῦσθαι ἐγκαλεῖν τοὺς πειράζοντας εἰς ὃ ἂν βούλωνται δικαστήριον· ὑπὸ τοῦ βασιλεύοντος δὲ μόνον θεωρεῖσθαι τὰς Νεαμονικὰς διαφοράς, ὡς ἀφορώσας ἀμέσως αὐτόν, καὶ ὑπ' αὐτοῦ μόνον διαλύεσθαι. Καὶ ταῦτα ἵνα μὴ θήρα πρὸς ἄγραν γίγνωνται τοῖς πλεονεκτοῦσι καὶ ἀδικοῦσιν· ἢ ἐν ὁρίων μεταθέσεσιν, ἢ ἐν ἀρταγαῖς τόπων, ἢ ἐν καινοτομίαις τε καὶ ἀμφιβολίαις κτημάτων, ἢ ἐν ἄλλαις οἱαισδήποτε δ καις, ἀλλ' ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωσιν ἐν πάσῃ εὐσεβείᾳ τε καὶ σεμνότητι, ἀνεπιθολώτῳ φρενὶ ὑπὲρ τῆς βασιλείας εὐχόμενοι. Ἰδοὺ δὲ καὶ αὐταῖς λέξεσι τὰ τεθεσπισμένα.

« Θεσπίζει, ἡ βασιλεία μου, διὰ τοῦ παρόντος αὐτῆς εὐ-
» σεβοῦς χρυσοβούλλου λόγου, ὥστε ἀπὸ τοῦ νῦν, καὶ
» εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, μή τινα
» δικαστὴν εἰς τὴν δηλωθεῖσαν Μονὴν περιεῖναι δίκην,
» οἱασδήτινος ἕνεκεν αἰτίας· μήτε τι σύμβολον ἀρχικῆς
» δυναστείας κατ' αὐτῆς, ἢ τῶν ἐν αὐτῇ τε καὶ ὑπ' αὐτὴν
» ἐπιδείκνυσθαι· ἀλλ' εἴποτε διαφοραὶ καὶ διαμάχαι τι-
» νες, εἰ μὲν τοῖς τῆς Μονῆς πρός τινας ἑτέρους ἐπιγέ-
» νοιντο, καὶ βούλοιντο ταύτας οὗτοι κατὰ τῶν ἀντιφε-
» ρομένων ἐγγυμνάζειν, ἀκωλύτως κινεῖν, καὶ τὸν νό-
» μον εὑρίσκειν δικαιτητὴν τοῦ καλῶς ἔχοντος· εἰδ' ἀφ' ἑ-
» τέρων κατ' αὐτῶν κινηθεῖεν, καὶ διαστασιάζοιεν πρὸς
» ἀλλήλους ἐπί τισι δίκαις, ἢ περὶ τόπων ἀφαιρέσεως,
» ἢ μεταθέσεως ὅρων, τῶν ὑπ' αὐτοὺς πάντων κτημά-
» των, ἢ καινοτομίας ἑτέρας τινὸς καὶ ἀμφιβολίας, μήτε
» θεματικόν, ἢ πολιτικόν, ὡς εἴρηται δικαστήν, μήτε

στιχοφόρῳ κωμῶν, ὅπερ καὶ Μοναῖος ἐπὶ τὸ θωπευτικώτερον λέγεται· Τὴ δὲ Νεαμονήτα σώζεται εἰς μόνην ἤδη τὴν κώμην Μεστῶν. Γ. Φ.

» τινὰ τῶν ἄλλων ἀρχόντων, ἢ βῆμα δικαστικὸν τοῖς
» ἐνάγουσιν ἀναπτύσσειν, καὶ τὰς περὶ τούτων ἀγωγὰς
» ἐγγυμνάζειν, ἢ ψηφίζεσθαι, ἢ ὅλως ἀγώγιμόν τινα
» τῶν ἐν τῇ Μονῇ ποιεῖν, καὶ καθέλκειν εἰς δικαστήριον·
» ἀλλὰ τὰ κατὰ τούτων κινούμενα, τῷ μείζονι τῶν ἄλ-
» λων ἐφιέναι δικαστηρίων, καὶ μόνον ἀκροᾶσθαι τού-
» των, τὸν τὴν αὐτοκράτορα (α) λαχόντα διέπειν ἀρχήν,
» ἀρρεπεῖ τε καὶ ἀδεκάστῳ κρίσει· ἢ διαλύειν τὰς ἀνα-
» μέσον τούτων ἀμφισβητήσεις· ἢ τὸ δεδογμένον μὲν
» ἀποφαίνεσθαι, τὸν δὲ κριτὴν δεχόμενον, κατὰ τὰς βα-
» σιλικὰς ἀποφάσεις πληροῦν. Ἵνα ὡς ἐν ἀδύτοις τισὶ
» μυσταγωγούμενοι, καὶ τὸ ἠρεμαῖον καὶ γαλήνιον πάν-
» τοθεν ἔχοντες, ἀνεπιθολώτους τὰς ὑπὲρ τῆς βασιλείας
» ἱκετείας πρὸς Θεὸν ἀναφέρωσι. Μετὰ δὲ ταῦτα τῆς
Μονῆς προσκτησαμένης καὶ ἄλλα, ἠτήσαντο οἱ Νεαμο-
νήσιοι παρὰ τοῦ αὐτοῦ Αὐτοκράτορος καὶ ἑτέραν χρυ-
σόβουλλον ἐπικύρωσιν, ὁ δὲ « πρὶν ἢ καθαρῶς αὐτοὺς,
» λέγει, δηλῶσαι τὴν δέησιν, ταύτης ἅπαντα τὸ πέρας
» εὐθύς». Οὐ μόνον δὲ τὰ ἐνΧίῳ ἐπεκύρωσεν, ἀλλὰ καὶ
τὰ ἐν ἀλλοδαπῇ Νεαμονικὰ μετόχια· οἷον τό τε ἐν τῇ
τῆς Κρήνης περιοχῇ, διὰ τὸν ἐν αὐτῷ ἱερὸν ναόν, Ἅγιος
Εὐστράτιος ἐπονομαζόμενον, καὶ τὸ, ἐν τῷ θέματι τῶν
Θρακησίων, μέγα καὶ ἀξιόλογον, ὅπερ ἐξηγόρασαν οἱ
Νεαμονήσιοι ἀπὸ τῶν υἱῶν τῶν Κατακαλῶν, Καλοθήκη
καὶ Καλοθήκια λεγόμενον, μετὰ εἰκοσιτεσσάρων παροί-
κων (β), οὓς εἶχεν ἀναποσπάστους πρὸς γεωργίαν καὶ
φύλαξιν. Ἐν οἷς καὶ ἑτέρους παροίκους εἰκοσιτέσσαρας,
οὓς αὐτὸς οὗτος ὁ βασιλεὺς τῇ Νεαμονῇ ἐδωρήσατο
πανεστίους ἐν τῇ Χίῳ, καὶ τεσσαράκοντα τρία κηπάρια,

(α) Διόρθου αὐτοκράτειραν. Γ. Φ.

(β) Πάροικοι, οἱ ἀπὸ ἀλλοτρίων τόπων παρὰ τοῦ βασιλέως ὡρισμένοι τάξει Μοναΐς. Ἰωάννης πρωτονοτάριος Ἀλεξίου τοῦ Κομνηνοῦ.

ὀνομαστὶ ἐβεβαίωσε, καὶ ὡς ἀναποσπάστους κτήσεις αὐτῆς ἐσαεὶ ἐπεκύρωσεν, ἐξασφαλίσας διὰ χρυσοσφραγίστων διαταγμάτων. Ἑτέρῳ δέ τινι χρυσοβούλλῳ, πρὸς ταῖς ἄλλαις δωρεαῖς, αἷς ἐπλούτισε τὴν Νεαμονήν, ὑπέταξεν αὐτῇ καὶ τοὺς ἐν Χίῳ Ἰουδαίους, πεντεκαίδεκα ὅλας οἰκογενείας, ὡς εὔδηλον ἐξ αὐτῶν τοῦ χρυσοβούλλου τῶν λόγων· « Τὸν παλαιὸν Ἰσραήλ, λέγοντος, καὶ ὁ Μέγας » Βασιλεὺς καὶ Θεὸς παρωσάμενος, τὸν νέον (Ἰσραήλ) » ἐξελέξατο, καὶ τοῦτον ἐκείνου προκρίνας, λαὸν πε- » ριούσιον καὶ μερίδα ἐπιθυμητὴν, καὶ κλῆρον οἰκεῖον » αὐτῷ ὠνόμασεν. Ἔνθεντοι καὶ τῷ Χριστιανικῷ φύλῳ » τὸ Ἰουδαϊκὸν καθυπέταξε, καὶ τὸ πιστὸν καὶ εὔνουν γέ- » νος, τοῦ ἀπίστου κατάρχειν καὶ ἀγνώμονος ᾠκονόμησε. » Ταύτῃ δήτα τῇ θείᾳ οἰκονομίᾳ καὶ ἡ βασιλεία ἡμῶν » κατακολουθοῦσα, πρὸς ταῖς ἑτέραις εὐποιίαις, ἃς πρὸς » τὴν ἐν τῇ νήσῳ Χίῳ Νεαμονὴν ἐποίησε, καὶ τοὺς ἐν » ταύτῃ τῇ νήσῳ Ἰουδαίους, ἐλευθέρους παντάπασιν ὄν- » τας καὶ μηδαμοῦ ὑποκειμένους τῇ Μονῇ προσαφόρισε, » καὶ ὑποκεῖσθαι ταύτῃ τούτους διωρίσατο (α). Ἀφι- λάνθρωπον δὲ νομίσας καὶ τῇ Μονῇ τελεῖν φόρους, καὶ τῷ δημοσίῳ, ἐλευθερεῖ πάσης ἄλλης ἀρχῆς, ἐπιλέγων » τοιαῦτα· « πάσης χειρός τε καὶ ἐξουσίας, ἀρχοντικῶντε » καὶ ἀρχιερατικῶν προσώπων τούτους ἐλευθεροῦμεν, καὶ » ἀπὸ πάσης ἐπηρείας καὶ ἀγγαρείας, κατὰ πρόσταξιν » βασιλικὴν ἴσως ἐπαγομένης, ἢ ἑτέρου τινὸς τὴν οἱα- » νοῦν ἐμπεπιστευμένου δουλείαν τοῦ δημοσίου γινομέ-

(α) Ταῦτα ὁ ἁγαθὸς Νικηφόρος, ὡς ἀστεῖα φρονεῖ πεποιηκέναι τε καὶ τεθεσπικέναι τὸν Μονομάχον· καὶ ὡς τοιαῦτα διασαλπίζει. Ἀλλ' ὁ Βασιλεὺς διὰ τῶν ἑπομένων ἀναιρεῖ πᾶν μισάνθρωπον νόημα. Πῶς; Πάντες ἀνεξαιρέτως ἐξουσίαις ταῖς ὑπερεχούσαις, κατὰ θεῖον βούλημα, ὀφείλομεν ὑποτάσσεσθαι, πειθηνίους τε αὐταῖς εἶναι, καὶ φόρων νομίμων ὑποτελεῖς, κατὰ τὸ κυριακόν· ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ (Ρωμ. ιγ'. 1. Τιτ. γ'. 1. Πέτρ. β'. 13. Ματθ. κβ'. 17—23.).

» νης (α), καὶ μόνῃ ὑποκεῖσθαι τῇ Νεαμονῇ ὁριζόμεθα· » ἀφ' ὧν (Ἰουδαίων) καὶ ἡ κεφαλιτιὼν ἐτησίως παρὰ τῶν » Μοναχῶν ἀπαιτηθήσεται.» (β) Ἐπιτείνει δὲ τὸ παντελεύθερον καὶ αὐτεξούσιον τῆς Νεαμονῆς ὁ ἀοίδιμος Βασιλεὺς Μονομάχος, διαλαμβάνων ἐν τῷ χρυσοβούλλῳ τῷ περὶ Ἰουδαίων, χειροτονεῖσθαι τοὺς Νεαμονησίους ἱερεῖς τε καὶ διακόνους ὑπ' ἀρχιερέων, οὕστινας βούλονται οἱ Νεαμονήσιοι. Καὶ τοῦ Ναοῦ ἀνεγκαινιάστου ὄντος ἔτι ἐν τῇ ἐκδόσει τοῦ χρυσοβούλλου, θεσπίζει ἐγκαινισθῆναι, παρ' οὗ ἂν ἐθέλοιεν τῶν Ἐπισκόπων οἱ ἐν τῇ Μονῇ τῇ Νέᾳ ἀσκούμενοι (γ). Ταῦτα δὲ, ἵνα μὴ διὰ τοὺς ἐγκαινισμοὺς καὶ τὰς χειροτονίας ἀναμιγνύωνται εἰς τὴν κυβέρνησιν τῆς Μονῆς οἱ Ἀρχιερεῖς, καὶ τὸ αὐτεξούσιον αὐτῆς καὶ παντελεύθερον περιστέλλωσι. Διὰ ταῦτα γοῦν λέγει· « πρὸς τούτοις διακελεύεται ἡ Βασιλεία ἡμῶν καὶ » τὸν ἱερὸν τῆς τοιαύτης Μονῆς Ναόν, ἐνθρονισθῆναι, » παρ' οὗ ἂν ἐθέλοιεν τῶν Ἐπισκόπων οἱ περὶ ταύτην ἀ- » σκούμενοι· εἴποτε χρεία καλεῖ τινα τῶν ἀδελφῶν Διά- » κονον, ἢ Ἱερέα χειροτονηθῆναι, παρ' οὗτινος αὖ πάλιν » οἱ αὐτοὶ βουληθεῖεν, ἡ χειροτονία προβήσεται· πλὴν

Ἐκ ταύτης οὖν τῆς κοινῆς καὶ ἐννόμου ὀφειλῆς μὴ ὄντας τοὺς Ἰουδαίους ἐξηρημένους, ὡρίσατο, μὴ τῷ δημοσίῳ, ἀλλὰ τῇ Νεαμονῇ εἶναι ὑποτελεῖς. Τούτων οὕτως ἐχόντων, ποῦ κεῖται ἡ ἀστειότης ἥτις ὡς ἀφιλάνθρωπος καὶ τὴν φιλάνθρωπον καρδίαν τοῦ Σ. ἡμῶν ἱεράρχου Γρηγορίου κατέθλιψε; Γ. Φ.

(α) Ἐξοβελιστέον ἴσως τὸ γινομένης. Γ. Φ.

(β) Κεφαλιτιὼν τὸ κατὰ κεφαλὴν ἢ τὸ κατ' ἄτομον τέλος, τὸ τουρκιστὶ χαράτσιον. Ν. Διαφέρει ὅμως τῆς Κεφαλιτιῶνος τὸ χαράτσιον. Γ. Φ.

(γ) Τὸ ἔθος τοῦ τοὺς Νεαμονησίους χειροτονεῖσθαι παρ' ὧν ἂν ἐθέλοιεν τῶν Ἐπισκόπων, διατηρεῖται καὶ μέχρις ἡμῶν, καὶ διὰ πατριαρχικῶν σιγγιλίων ἐπικυρούμενον. Τὸ δὲ τοὺς ἱεροὺς Ναοὺς τῆς Μονῆς ἐγκαινίζεσθαι, οὗ ἂν ὦσιν, ἐδόθη τοῖς ἡγουμένοις τῶν Νεαμονησίων. Γ. Φ.

» οὐ τῇ ἀφορμῇ τοῦ ἐνθρονισμοῦ, ἢ τῆς χειροτονίας, δί-
» καιόν τι ἐπὶ τῇ Νεαμονῇ ὁ ἐνθρονίσων ἢ ὁ χειροτονή-
» σων ἕξει, ἢ ἀναφορᾶς ἐντεῦθεν, ἢ σφραγίδος δράξεται
» ἡγουμένου, ἢ ὅλως εἰς κατακυρίευσιν τῆς Μονῆς προ-
» βάλλεται τὴν οἱανοῦν πρόφασιν· τὸ γὰρ τοιοῦτον τέ-
» λεον ἀπείργομεν, καὶ ἐλευθέραν εἶναι τὴν Μονὴν παν-
» τὸς ἀρχοντικοῦ καὶ ἱερατικοῦ προσώπου βουλόμεθα,
» κατὰ τὸ προγεγονὸς τῆς Βασιλείας ἡμῶν χρυσόβουλ-
» λον.» Μετὰ δὲ ταῦτα ἐπειδὴ ἐξωρίζοντο πολλοὶ τῶν
κατακρίτων ἐν ταῖς Μοναῖς περιοριζόμενοι ἢ πρὸς καιρὸν, ἢ καὶ ἐσαεί, ἵνα μὴ καὶ ἐκ τούτων ἐπήρειάν τινα, ἢ τάραχον παρέχωσι τῇ Μονῇ, ὅ καὶ συνέβη, ὥσπερ εἰκάζεται, ἅμα μαθὼν ὁ Βασιλεὺς τὸ συμβάν, τοῦ μὴ καὶ τοῦ λοιποῦ τοιόνδε συμβῆναι, διάταγμα νέον αὖθις ἐκδίδωσι· λέγον· «διορίζεται γὰρ ἡ Βασιλεία ἡμῶν διὰ τοῦ
» παρόντος αὐτῆς χρυσοβούλλου σιγιλλίου, ὥστε πρὸς
» τῇ ἐλευθερίᾳ τῶν ἄλλων ἐπηρειῶν, μηδ' ἐξόριστόν τι-
» να, ἢ κατάκριτον εἰς αὐτὴν παραπέμπεσθαι, καὶ οὐ
» βούλεται νῦν, ἢ μετέπειτα, ἢ προφάσει διηνεκοῦς ἐξο-
» ρίας, ἢ προσκαίρου διαγωγῆς, πρὸς τὴν τοιαύτην Μο-
» νήν, ἀποστέλλεσθαί τινα· ἵνα καταμόνας ἑαυτοῖς τε
» καὶ τῷ Θεῷ ζῶντες, καὶ ἀμέσως ὡς δυνατὸν προσο-
» μιλοῦντες αὐτῷ, προσεκτικώτερόν τε καὶ ἐκτενέστερον
» ὑπὲρ ἡμῶν, καὶ τοῦ Κόσμου παντός, τὰς δεήσεις προσ-
» φέρωσιν.» Ἐπὶ δὲ τούτοις παρακαλεῖ καὶ τοὺς μετ' αὐτὸν βασιλεύσοντας φυλάττειν ἀκριβῶς τὰ τεθεσπισμένα αὐτῷ. Νικήτα δὲ τοῦ Καθηγουμένου καὶ τοῦ ἀδελφοῦ Ἰωάννου καὶ τῶν ἄλλων Μοναχῶν αἰτησάντων καὶ ἐν Βυζαντίῳ διαμονητήριον οἶκον, ἐνῷ διαμένειν τοὺς τῶν Νεαμονησίων ἀφικνουμένους εἰς βασιλεύουσαν. Ἔδωκεν ἀνωγεωκάτωγον οἶκον ἐκ τῶν τοῦ Τροπαιοφόρου, ἐπικυρῶν τε καὶ διαγράφων διὰ χρυσοβούλλου σιγιλλίου, κατὰ τὴν τοποθεσίαν Ἀγγούριον, ἐγγὺς τοῦ Ἁγίου Νικολάου. Τοῦτον δὲ διατάττει ἀνακεραμεῦν τὴν ἀδελφὴν τῆς Νεαμονῆς, τὴν Μονὴν δηλαδὴ τῶν Μαγγάνων, κτίσμα οὖσαν τοῦ

αὐτοῦ βασιλέως, καὶ ἀνακτίζειν, ὡς δέον, ἵνα ᾖ διαπαντὸς κατοικήσιμος πρὸς ἀναπαυτικὴν διαμονὴν τῶν ἀναπλεόντων Νεαμονησίων εἰς τὸ Βυζάντιον. Ἀπλῆκτον δὲ λέγει κατὰ τὴν τότε συνήθειαν (α). Τοιοῦτόν τινα καὶ ἐν τῷ παλατίῳ προωρίσατο, ἔνθα καὶ οἱ ἐξ Ὀλύμπου Μοναχοὶ διῆγον, ὁσάκις παρῆσαν ἐν Βυζαντίῳ. Λέγει γοῦν· «διορίζεται (ἡ
» Βασιλεία μου) διὰ τοῦ παρόντος χρυσοβούλλου σιγιλ-
» λίου, ὥστε ἀπὸ τῶν ἐνοικιακῶν τῆς Μονῆς τοῦ Τρο-
» παιοφόρου, ἔχειν αὐτοὺς (τοὺς Νεαμονησίους ὀλονότι),
» τὸ ἀνωγεωκάτωγον οἴκημα τὸ ὂν ὑπὸ τὴν τοποθεσίαν
» τοῦ Ἀγγουρίου, πλησίον τοῦ Ἁγίου Νικολάου, μετὰ
» τοῦ περιαυλίου αὐτοῦ, καὶ προστώου ἡλιακοῦ, καὶ τοῦ
» σταύλου εἰς ἀπλῆκτον· καὶ καταμένειν ἐν αὐτῷ τοὺς
» ἀποστελλομένους αὐτῶν Μοναχοὺς ἀπερικόπως· ἀνοι-
» κοδομεῖσθαι δὲ καὶ ἀνακεραμοῦσθαι τὸ τοιοῦτον οἴ-
» κημα παρὰ τοῦ σεκρέτου τοῦ Τροπαιοφόρου, καὶ αὐ-
» τοὺς ἀκαινοτομήτους διατηρεῖσθαι, καὶ ὑπερεύχεσθαι
» τῆς Βασιλείας μου, ἐκτελεῖν τε καὶ τὴν τυπωθεῖσαν
» αὐτοῖς ἱκετήριον εὐχὴν ἀδιαλείπτως. (β).

Πῶς δ' ἐπολιτεύοντο οἱ Ὅσιοι καὶ τίνα ὑπόληψιν ἔχαιρον καὶ ἐν Χίῳ καὶ ἐν Κωνσταντινουπόλει καὶ ἀλλαχοῦ· καὶ ἐν συμπολίταις, καὶ ἐν ξένοις, καὶ ἐν ἰδιώταις καὶ ἐν ἄρχουσι, καὶ ἐν Βασιλεῦσι· μαρτυροῦσι καὶ χρυσόβουλλα καὶ σιγγίλια καὶ παραδόσεις τρανῶς. (γ) Τοσοῦτον δ' ἀξιοπιστότερα ταῦτα, ὅσον αὐτήκοοί τε καὶ αὐτόπται οἱ γράψαντες. Ὁ γὰρ ἀοίδιμος Κωνσταντῖνος ὁ

(α) Πόθεν Ἀπλῆκτον; Ἐκ τοῦ πλήττω-ομαι-πγμαι-πξαι-πκται, πληκτὸς, ἄπληκτος, καὶ ἀπλῆκτος; Γ. Φ.

(β) Τίς ἡ εὐχή; Ἄδηλον.

(γ) Ὅρα εἰς τὰ παλαιόγραφα τὰς αὐτογράφους μαρτυρίας ὑπὲρ τῶν Ὁσίων, ὅσας διέσωσεν ἡμῖν διὰ τοῦ τύπου ὁ ἱερὸς Νικηφόρος, ἀντιγεγραφὼς ἐκ χρυσοβούλλων, ἅπερ ἐσώζοντο ἐπ' ἐκείνου ἔτι. Γ. Φ.

Μονομάχος διασαλπίζει ἐν χρυσοβούλλῳ· » διὰ τίνας » φροντίζει τοσοῦτον ὁ Κύριος, ὅσον διὰ τοὺς προτιμή- » σαντας τὸν μονήρη βίον καὶ βδελυξαμένους καὶ γῆν » τε καὶ γήϊνα. Διατί; ὅτι κἀκεῖνοι προπάντων αὐτὸν » φροντίζουσι θεραπεύειν, ὑπὸ τὸ τούτου βιοῦντες ὄμμα, » καὶ τὰς τούτου ἐντολὰς τηροῦντες μετὰ σπουδῆς. » Τούτων ἡ ἐπιθυμία, κατὰ τὸν θεῖον εἰπεῖν Δαβίδ, ἀνω- » τέρα χρυσίου καὶ λίθων τιμίων, γλυκυτέρα ὑπὲρ με- » λίκηρον (α). Ὁ οὖν φιλάρετος καὶ φιλόθεος τούτων ὀ- » φείλει ἐπιμελεῖσθαι, ὥσπερ εἰκὸς, τὸ θεῖον ἔλεος κτώ- » μενος διὰ τούτων, καὶ παντὶ τρόπῳ ἡσύχιόν τε καὶ ἀ- » περίσπαστον ἀπεργαζόμενος τούτοις τὴν ἄσκησιν, καὶ » τὴν πρὸς τὸν Θεὸν ὁμιλίαν· ἵνα καὶ θερμοτέρας τὰς » δεήσεις καὶ ἱκεσίας ὑπὲρ παντὸς τοῦ Κόσμου ποιῶσι, » καὶ ὑπὲρ τῆς Βασιλείας ἰδίως. Διὰ ταῦτα τοίνυν ἡ Βα- » σιλεία μου πολλὰς ἐπεδαψίλευσε τὰς εὐεργεσίας, ἄ- » φθονα χαρισαμένη τοῖς εὐλαβῶς μονάζουσιν ἐν τῇ » κατὰ τὴν Χίον Μονῇ τῆς ἁγνῆς Θεομήτορος, ἥτις ἐπι- » κέκληται Νέα (β), διάγουσιν, ὡς δυνατὸν ἀνθρώποις, » ἰσάγγελον διαγωγὴν ἐπὶ γῆς· καθάπερ ὁ Θεὸς παραι- » νεῖ (γ).» Καὶ πάλιν ὁ αὐτὸς δι' ἑτέρου χρυσοβούλλου κηρύττει· «Τὸ βοηθεῖν τοῖς ἐπιμελουμένοις ἀρετῶν καὶ » ἀπαρνησαμένοις τὴν γῆν καὶ τὰ γήϊνα, καὶ σπεύδουσιν » εἰς οὐρανὸν, ἀνελθεῖν, καὶ τὸ κρατύνειν τὴν τούτων » προθυμίαν τε καὶ ὁρμὴν πρὸς αὐτὰ, καὶ τὸ τὰς ἔξωθεν » περικόπτειν φροντίδας αὐτῶν καὶ τοὺς περισπασμούς· » τὰ μέγιστα τὴν ψυχὴν ὠφελοῦσι, καὶ θησαυρὸν ἔντιμον » θησαυρίζουσιν ἐν τοῖς ταμείοις τοῖς ἀσυλήτοις τοῦ » Οὐρανοῦ. Ὅθεν καὶ ἡ Βασιλεία μου, λέγει, τὰ ψυχω- » φελῆ ἀγαπῶσα, καὶ τὴν ἀληθῆ ποθοῦσα μακαριότητα

(α) Ψαλμ. ιή, ριή.
(β) Νέα, πρὸς ἀντιδιαστολὴν τῶν παλαιτέρων. Γ. Φ.
(γ) Ὅρα τὸ Α'. ἐν τοῖς παλαιογράφοις. Γ. Φ.

» χεῖρα πρόθυμον βοηθείας ἐκτείνει καὶ τοῖς μοναστᾶις, » τοῖς ἀσκουμένοις ἐν τῇ Μονῇ τῆς Δεσποίνης ἡμῶν » Θεοτόκου, ἥτις Νέα μὲν ὀνομάζεται, ἐν τῇ Χίῳ δὲ » κεῖται· τοῦ μὴ ἔχειν φροντίδας τε καὶ περισπασμούς, » ἐργαζομένους τὰς ἀρετὰς, καὶ μὴ κωλύεσθαί τινος τῶν » θείων ὑμνῳδιῶν ἢ παρεκτρέπεσθαι, τῆς πρὸς τὰς ἀρε- » τὰς ἀτραποῦ διὰ τὴν ἀναγκαίαν τροφὴν μεριμνῶν- » τας (α).» Διὰ δὲ τρίτου τινος χρυσοβούλλου πάλιν τὴν πρὸς τὴν Δέσποιναν Θεοτόκον ἀγάπην δεικνύει καὶ τὴν πρὸς τὴν ἀρετὴν καὶ ἁγιότητα εὐσεβῆ αὐτοῦ γνώμην τε καὶ εὐλάβειαν· ἡ Βασιλεία μου, λέγων, τὴν ἀρετὴν » τιμῶσα τῶν Ὁσίων καὶ φιλοθέων ἀνδρῶν, καὶ τὸ » θεῖον ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ δοξολογεῖν » βουλομένη, χρηστά τε καὶ βασιλικὰ κατεργαζομένη » ἀναμφιβόλως, δεόντως σκεψαμένη, καταδεικνύει, τὰς » εὐεργεσίας αὐτῆς καὶ τὰς χάριτας καὶ ἐν τῇ τῆς Ὑ- »περαγίας Θεοτόκου Νεαμονῇ, τῇ ἐν Χίῳ, ἐπεκτείνουσα » τὸ ταύτης εὐεργετικὸν καὶ φιλότιμον οὐ μόνον ἐν ἀ- » πείροις τε καὶ θαλάσσαις, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς » νήσοις· ἔχοντες γὰρ οἱ ἐν Νεαμονῇ ἀσκούμενοι Μονα- » σταὶ πόθον ἄμετρον τοῦ εὐαρεστεῖν τῷ Θεῷ, καὶ τού- » του ὑπὲρ παντὸς ἄλλου ἐπιθυμοῦντες, ἐφήλκυσαν ἀνά- » λογον τῆς ἑαυτῶν ἀρετῆς καὶ τὸ τῆς Βασιλείας μου » ἔλεος. Διὰ ταῦτα προσθεὶς ἐπὶ τῷ πρὸς τὴν Ὑπερα- » γίαν Δέσποιναν Θεοτόκον διαπύρῳ μου πόθῳ καὶ τὴν » πρὸς τοὺς φιλαρέτους τούτους ἄνδρας στοργὴν, καλὸν » μετὰ καλοῦ ἀναμίξας, ἐξέδωκα καὶ τὸ σιγίλλιον τοῦτο » χρυσόβουλον (β)». Δαβὶδ δέ τις ὕπατος καὶ νουμέριος

(α) Ὅρα τὸ Β'. ἐν τοῖς παλαιογράφοις.
(β) Ὅρα καὶ τὸ Γ'. ἐν τοῖς παλαιογράφοις. Πρὸς τί κυρίως ἀφορᾷ τὸ χρυσόβουλλον; Περὶ τούτων ἀρροντιστεῖ ὁ ἱερὸς Νικηφόρος, ὡς εἰ ἔλεγε· βλέπετε τὰ χρυσόβουλλα, μὴ μαντεύσας τὸν ὄλεθρον. Γ. Φ.

συκοφαντίαις καὶ διαβολαῖς κατὰ τῶν Ὁσίων ὑπεῖχων, ὡς καὶ ἐν τῷ βίῳ αὐτῶν ἀναφέρεται, συνεργεῖ μεὺ' ἑτέρων ἀρχόντων καὶ τὸ τῶν ἀνδρῶν καὶ τὸ τῶν γυναικῶν Μοναστήριον ἀποκληρώσασθαι τῶν οἰκείων ἀναθημάτων, καὶ τὰ τῷ Θεῷ ἀφιερωμένα μεταθεῖναι τῷ Κόσμῳ, τῷ Οἰκοπροαστείῳ ἀναθεὶς τὰ τούτοις ὑπάρχοντα. Διασχεδάσασα ὅμως μετουπολὺ τὸ σκότος τοῦ ψεύδους ἡ ἀλήθεια, ὑπὸ τὸ ῥυπαρὸν κάλυμμα τῆς συκοφαντίας ἐξανατείλασα, ἀπέδωκεν, ὡς δέον, τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Χρυσόβουλλον οὖν ἐκδοὺς διὰ ταῦτα ὁ Κομνηνὸς Ἰσαάκιος ἐκδιηγεῖται τὸ πάθημα οὕτως· «ὁ τῇ ἀνθρωπίνῃ φύσει πολέμιος μὴ ὑποφέρων βλέπειν » τὰ Μοναστήρια, καταγώγια ὄντα ἀγαθοεργιῶν, διαμηχανισάμενος κοσκινίσαι τοὺς Μοναχούς, κατακρίτους εἰς ἐξορίαν ἀπέστειλεν· καὶ ἀφελὼν ἀπὸ τούτων » τὰ Μοναστήρια, τῷ Οἰκοπροαστείῳ συνήρμοσε· καί τοι » τῷ Θεῷ ἀνακείμενα προπολλοῦ, καὶ οὐδένα δεσπότην » ἕτερον ἔχοντα, παρὰ τὸν τὰ πάντα διακυβερνῶντα καὶ » ἐφορῶντα Θεόν, ἐξ οὗ παρὰ τὰς διατάξεις καὶ τοὺς ἱε» ροὺς κανόνας ἀφῄρηνται, ὅπερ καὶ ἀκοῇ ὁσίᾳ ἀφόρητον· τὶς γὰρ ὑποφέρει τῶν φιλοσίων ἀναμιγνύεσθαι » μετὰ κοσμικῶν δικαίων ἐπισφαλῶν καὶ ῥεόντων, ὅσα » Θεὸς ἐδέξατο καὶ ὡς οἰκεῖα ἐνηγκαλίσατο; Ἡ οὖν Βα» σιλεία μου, λέγει, πρὸς αὐτὸ τὸ δίκαιον ἀφορῶσα, τὸ » θεῖον καὶ ἱερὸν ἔργον ἐπικυροῖ, τὰ τοῦ Θεοῦ τῷ Θεῷ » διαμένειν ἐθέλουσα, ὥπερ ἦσαν προσαφιερωμένα, κα» κίζουσα τοὺς διοικοῦντας ἐπὶ τῆς Θεοδώρας, καὶ τὴν » ἐκείνων ἀπόφασιν ψέγουσα, μηδὲν τῶν τοιούτων » γινωσκούσης ἐκείνης· ἐπειδὴ ἐκ νεότητος ἦν θαλα» μευομένη, μηδ' ἱερῶν, μηδὲ πολιτικῶν πεῖραν ἔχουσα » τοπαράπαν· οἱ δὲ διοικοῦντες τὸ κράτος ἐνδεδυμένοι, » ὥσπερ τινὰ λεοντῆν τὸ ἐκείνης ὄνομα, ἔπραττον, ἅπερ » ἐβούλοντο ἐν ἀγνοίᾳ τῆς Δεσποίνης. Ὅθεν ἡ ἐμὴ » Βασιλεία, ὡς δέον, ἀπέσπασε μὲν τῶν δικαίων τοῦ » Οἰκοπροαστείου τὰ Μοναστήρια ἀφῳῶς τε καὶ παρα-

» λόγως μετὰ τῶν ἐκείνου προσενωθέντα, αὐτοδέσποτα » δὲ πάλιν εἶναι ὡρίσατο διὰ τούτου τοῦ εὐσεβοῦς χρυ» σοβούλλου σιγιλλίου, ἐπικυροῦσα πρᾶξιν θεοφιλῆ καὶ » δικαίαν, σύμφωνον τοῖς ἱεροῖς κανόσι, καὶ τοῖς εὖ φρο» νοῦσιν εὐάρεστον, ἔτι δὲ καὶ τὰς βασιλικὰς ἐπιβεβαιοῦ» σα σφραγῖδας καὶ ἐγγράφους διαταγὰς, ἅτινα ὑπὲρ πᾶν » ἄλλο συμφέρει συντηρεῖν καὶ σεβάζεσθαι (α).» Καὶ ὁ μὲν Ἰσαάκιος διεδέξατο Μιχαὴλ τὸν Στρατιωτικόν, οὗτος δὲ τὴν Δέσποιναν Θεοδώραν, αὕτη δὲ τὸν ἐξ ἀδελφῆς γαμβρὸν, Κωνσταντῖνον τὸν Μονομάχον. Ἐβασίλευσε δὲ ὁ μὲν Μονομάχος ἔτη δυοκαίδεκα, ἡ δὲ Θεοδώρα ἔτος ἕν καὶ μῆνας ἐννέα· ὁ δὲ Στρατιωτικὸς ἔτος ἕν, ὁδὲ Ἰσαάκιος ἔτη δύο καὶ μῆνας τρεῖς. Τοῦτον δὲ διαδέχεται Κωνσταντῖνος ὁ Δούκας, πρὸς ὃν καταφεύγουσιν οἱ Ὅσιοι Νικήτας καὶ Ἰωάννης· ὁ γὰρ Ἰωσὴφ ὡς νεώτερος, ὕστερος τούτους διαδεξάμενος, ὕστερος ἐγένετο καὶ τοῖς βασιλεύουσι δῆλος. Ἡ δὲ πρὸς τὸν Βασιλέα καταφυγὴ τῶν Ὁσίων ἀπέβλεπε τὴν ἐπικύρωσιν τῶν προγεγονότων αὐτοῖς χρυσοβούλλων, ὅσα τε Μονομάχος καὶ Δεσπινίδες Ζωή τε καὶ Θεοδώρα, καὶ Ἰσαάκιος αὐτοῖς ἐγεγράφησαν. Ὁ δὲ ἀείμνηστος Δούκας βασιλικῶς ὑποδεξάμενος τοὺς Ὁσίους φιλαγάθως τε καὶ εὐλαβῶς ἠκροάσατο, καὶ πρὸς ἃ ἔπαθον ἀπεκρίνατο, ὥσπερ ἥλιος ὑπὸ νεφῶν ἐσθότε σκιάζεται, μετουπολὺ δὲ τὰς ἀκτῖνας αὖθις ἐξακοντίζει πανταχόθεν λαμπρὸς, διασκεδασθέντων ἐκείνων· οὕτω καὶ τὸ ψεῦδος ἐπ' ὀλίγον κατισχύσαν τῆς ἀληθείας, ζόφῳ βραχεῖ ταύτην ἐνέδυσεν· ἀλλ' ὁ ζόφος ἐσβέσθη καὶ ἡ ἀλήθεια ἔλαμψεν· ὁ μόδιος ἤρθη, οἱ δὲ ὑπ' αὐτὸν λύχνοι ἐπὶ τῆς λυχνίας εἰσὶ τεθειμένοι. Μὴ οὖν φοβεῖσθε, ἐξ ὧν ἐπάθετε· οὐ μόνον γὰρ ἐπικυρώσω τὰ τῇ ἡμετέρᾳ Μονῇ προδεδομένα χρυσόβουλλα, ἀλλὰ καὶ προσθήσω εἰς τὰ τοῦ Μονομάχου δίδοσθαι τὸν σῖτον τῶν

(α) Ὅρα τὸ Γ'. ἐν παλαιογράφοις.

χιλίων μοδίων καθαρόν, προφασιζομένων δ' ὅτι οὐκ ἐγένετο, τὴν τιμὴν τοῦ σίτου ἐκτείνειν τῇ Μονῇ κατ' ἀξίαν. «Ἐπειδή, λέγει, εὗρεν ἡ Βασιλεία μου τοὺς εὐλαβεστάτους Μοναχοὺς τῆς Νεαμονῆς, τῆς ἐν Χίῳ κειμένης, τῇ δ' ὑπεράγνῳ Μητρὶ τοῦ Θεοῦ ἀνατεθειμένης, ἤγουν τὸν Νικήταν καὶ Ἰωάννην, παρακαλοῦντας ταύτην καὶ ἱκετεύοντας, χρυσόβουλλον στιγγίλιον δοθῆναι αὐτοῖς, ἐπικυροῦν τὰ προσκτηθέντα τῇ ὑπ' αὐτοὺς ῥηθείσῃ Μονῇ, ἀνοίκειον ἔδοξε τῇ ἡμῶν γαληνότητι τὴν τούτων ἀρνήσασθαι δέησιν· ἀλλὰ φιλάγαθον αὐτοῖς οὖς καὶ εὐήκοον ὑποκλίνασα, εὐμενῶς ἐδέχθη τὴν αἴτησιν καὶ βασιλικῶς καὶ μεγαλοπρεπῶς ἐξεπέρανε, τάχιον λόγου πρὸς τὴν ἐκπλήρωσιν σπεύσασα· τὰς γὰρ τοιαύτας φιλεῖ εὐποιΐας, καὶ σπεύδει πραγματοποιοῦσα, ὅσα πρὸς Θεὸν ἀναφέρονται (α).» Ἐν ἄλλῳ δ' αὖθις χρυσοβούλλῳ ὁ αὐτὸς διηγεῖται. «Οὐ δίκαιόν ἐστιν ἀποστρέφεσθαι, ὁποῖά ποτ' ἂν αἰτῶσιν ἄνδρες θεῖοι εὐλαβεῖς τε καὶ ἱεροί, ἐγκαταστήσαντες ἑαυτοὺς σεμνοὺς διὰ λόγου καὶ ἀρετῆς καὶ ἀσκήσεως (β).»

Ὁσιωτάτης οὖν διαγωγῆς, ὡς ἐκ τῶν εἰρημένων μαρτυρούμενοι οἱ ἀοίδιμοι Πατέρες, ὁσιωτάτου ἔτυχον καὶ τοῦ τέλους. Καὶ ὁ μὲν ἀγωνοθέτης Θεὸς λαμπρὸν ἔδωκεν αὐτοῖς τὸ βραβεῖον τοῦ ἀγωνίσματος, οἱ δὲ ἄνθρωποι τιμῶσι τὴν μνήμην αὐτῶν καὶ γεραίρουσι. Καὶ πρῶτος μὲν ὁ θεῖος Νικήτας ἀπέπτη πρὸς τὰ ὑπερκόσμια κατὰ τὴν κ'. τοῦ Μαΐου, μετ' ὀλίγον δ' ἔπειτα καὶ ὁ μακάριος Ἰωάννης, ὡς ἐκ παραδόσεως ἔχομεν· ὁ δὲ Ἰωσὴφ

(α) Ὅρα τὸ Δ'. ἐν παλαιογράφοις.

(β) Ὅρα τὸ Ε'. ἐν παλαιογράφοις. Πόσα δ' ἐσώζοντο χρυσόβουλλα ἢ ἄλλα τὸ σύνολον παλαιόγραφα πρὸ τῆς ἁλώσεως; ἢ πόσα τούτου ἢ ἐκείνου τοῦ Βασιλέως; ἢ πόσα χειρόγραφα λόγου ἄξια ἢ ἀνέκδοτα ἦσαν ἐν τῇ Μονῇ; περὶ τούτου οὐδὲν ἐδήλωσεν ὁ ἱερὸς Νικηφόρος, ἀθελήτως φανεὶς ἄβουλός τε καὶ ἐπιζήμιος. Γ. Φ.

ὁ τούτους διαδεξάμενος, βραδύτερον διανύσας τὸν βίον, πρὸς οὓς ἐπόθει ἀπῆλθεν, ἐν ταῖς τῶν Ὁσίων οὐρανίαις μοναῖς ἐκείνοις συναυλιζόμενος. Καὶ μέχρι μὲν Ῥωμανοῦ τοῦ Διογένους ὁ Νικήτας καὶ Ἰωσὴφ, ὡς γεραίτεροι ἀνεφαίνοντο, ὑπό τε τῶν Βασιλέων γινωσκόμενοι, καὶ ἐν τοῖς χρυσοβούλλοις ἀναφερόμενοι· ἀλλ' ἀπὸ τούτου γνωρίζεται καὶ ὁ ἱερὸς Ἰωσήφ. Ἔτι τούτου γὰρ Βασίλειός τις τὴν κλῆσιν, μοναχὸς τὴν τάξιν, σπορεὺς ζιζανίων ἀναδειχθείς, ὡς γράφει ὁ ἀείμνηστος Ῥωμανός, ἐνώπιον τούτου ἐμφανισθείς, λέγει Βασιλεῦ, ἔστι τις ἐν Χίῳ Μονή, Νεαμονὴ καλουμένη, μηδὲν πρὸς τὸ δημόσιον συνεισφέρουσα τέλος, καί τοι ὤφειλε πολλὰ τελεῖν, πολλὰ ἔχουσα, ἀλλὰ πάντα ταῦτα σπαταλῶνται εἰς τρυφὰς καὶ ἀναπαύσεις τοῦ Ἡγουμένου, καὶ τῶν περὶ αὐτὸν μοναχῶν. Καὶ ταῦτα μὲν ἀνήγγειλεν ὁ Κακοβασίλειος. Ὁ δὲ Βασιλεὺς μὴ εἰδὼς μηδὲ τοὺς μονάζοντας ἐν Νεαμονῇ, μηδὲ τὰ ταύτης προνόμια μεταπέμπεται τὸν ἡγουμενεύοντα Ἰωσὴφ εἰς τὴν βασιλεύουσαν πρὸς πληροφορίαν. Ὁ δὲ φέρων μεθ' ἑαυτοῦ τοὺς ἐγκρίτους τῶν μοναχῶν, καὶ τὰ ἐπίσημα ἔγγραφα τῆς Μονῆς καὶ χρυσόβουλλα, δεικνύει τῷ Βασιλεῖ· ὁ δὲ γνοὺς, ὅτι προνομιοῦχος ἡ Μονή, καὶ ἀτελὴς, καὶ αὐτοδέσποτος, καὶ αὐτόνομος, δι' ἰδίου χρυσοβούλλου ἐπικυροῖ τὰ προγεγονότα, κατεξανιστάμενος κατὰ τῆς μοχθηρίας τοῦ Βασιλείου καὶ λέγων· « πικρὰν ἐξεμέσας προσαγγελίαν » ὁ μοναχὸς Βασίλειος, ἀνόητός τις ὢν καὶ παμμόχθηρος, ὄργανον σατανικὸν γενόμενος, ἐδεῖτο πιεῖν τὸ πότήριον τῆς πικρίας, ἣν ἐκέρασε τοῖς ἐν Νεαμονῇ τῇ » Χίᾳ μονάζουσιν, εἰς κάθαρσιν τῆς μοχθηρᾶς αὐτοῦ » καρδίας· ἀλλ' ἡ Βασιλεία μου ἀρκοῦσαν αὐτῷ τιμωρίαν νομίσασα τὸ ἀποσοβῆσαι μετ' αἰσχύνης αὐτὸν, καὶ » τὸ τὴν ἄλλην ὕβριν ὑπενεγκεῖν τὴν ἐκ τούτων, συνεχώρησεν ἀπελθεῖν ὅπῃ βούληται. Τῇ δὲ Νεαμονῇ καὶ » τοῖς ἐν ταύτῃ ἐνασκουμένοις, ὡς τεῖχος ἰσχυρόν τε καὶ » ἀκαθαίρετον, τὸ παρὸν χρυσόβουλλον ἔδωκε, δι' οὗ ἐ-

» πικυροῖ πάνθ' ὅσα χρυσόβουλλα κέκτηται ἡ Μονὴ, πρὸς
» τὸ αὐτεξούσιον εἶναι καὶ αὐτοδέσποτον· καταδικάζει δὲ
» εἰς ἀφανισμὸν πᾶσαν πονηρὰν καὶ ἀντιφάσκουσαν
» γλῶσσαν, καὶ λόγους ἅπαντας ἐναντίους, οἵτινες ἐφι-
» στῶσιν, οἷόν τινας κατ' αὐτῆς ἐλεπόλεις, καὶ ἐπιχειροῦσι
» τοιχωρυχεῖν τὰς εὐσεβεῖς περὶ τῆς εἰρημένης Μονῆς διա-
» τάξεις, καὶ τὰ θεοφιλῆ τῶν προγενεστέρων Βασιλέων
» χρυσόβουλλα. Κατὰ τοῦτον οὖν, καὶ οὐ καθ' ἕτερον
» τρόπον ζήσεται ἡ Μονὴ, ἄχρις εὐσέβεια, καὶ νόμοι,
» καὶ θεσμοὶ θεῖοι τε καὶ βασιλικοὶ τὴν οἰκουμένην ἐπι-
» τροπεύωσι (α).» Τοῦ δὲ Ῥωμανοῦ τελευτήσαντος
καὶ τοι τοιαῦτα εἶχον χρυσόβουλλα οἱ Νεαμονήσιοι, πε-
ριφρουροῦντα ὡς τείχη ἐρυμνὰ τὴν Μονὴν, καὶ τὰς κτή-
σεις αὐτῆς· ἀλλ' ὅμως καὶ παρὰ τοῦ νεωστὶ βασιλεύσαν-
τος Μιχαὴλ Δούκα νέαν ἐξεζήτησαν ἐπικύρωσιν (β). Ὁς
γράφων λέγει «καί τοι ἔχει ἡ ἐν Χίῳ Νεαμονὴ διὰ προ-
» γεγονότων χρυσοβούλλων τὸ ἐδρεῖον, τὸ ἀῤῥαγὲς, τὸ
» ἀμετάπτωτον, τὸ ἀναλλοίωτον, ὡς πρὸς τὰς ἑαυτῆς
» κτήσεις καὶ τὰ προνόμια, ἀλλ' ἐν τούτοις καὶ ἡ θεο-
» πρόβλητος ἡμῶν Βασιλεία ἐξ εὐμενείας τῆς πρὸς τοὺς
» Νεαμονησίους, τὰς αἰτήσεις αὐτῶν, ἅμ' ἔπος, ἅμ' ἔρ-
» γον ἐτέλεσε· καὶ τὸ παρὸν χρυσόβουλλον τούτοις δοῦ-
» σα, θεσπίζει καὶ αὐτὴ διὰ τούτου τὸ πάγιον καὶ ἀστα-
» σίαστον καὶ ἀναμφίλεκτον ἔχειν τὰ τῆς ἐν Χίῳ Νεα-
» μονῆς, ὡς διέταξαν οἱ τρισμάκαρες κτίτορες· βέλτιον
» δ' εἰπεῖν τὰ τῶν Μονῶν· δύο γάρ εἰσιν ἡ μὲν πρὸς τὸ
» θῆλυ, ἡ δὲ πρὸς τὸ ἄῤῥεν ἐκ θεμελίων ἐγειγερ-
» μέναι· καὶ ἐν ταύτῃ μὲν ἄνδρες, τῷ πνεύματι ζέον-
» τες, ἐν ἐκείνῃ δὲ γυναῖκες σεμναὶ καὶ παρθένοι τῷ
» Κυρίῳ δουλεύουσι. Καὶ ἐν ταῖς δύο δὲ πᾶσα μὲν

(α) Ὅρα Ε'. ἐν παλαιογράφοις.

(β) Καὶ Κωνσταντῖνος ὁ πρῶτος ἐκ Δουκῶν, καὶ οὗτος, ὃς καὶ Παραπινάκης ἐλέγετο, ἔδωκαν χρυσόβουλλα τῇ Μονῇ. Γ. Φ.

» ἐκτελεῖται καὶ σπουδάζεται ἀρετὴ καὶ τρόπος ἀσκή-
» σεως, ἀτιμάζεται δὲ πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν
» χρείαν (α).» Ἀλλ' ἐπειδὴ καὶ ἐπὶ Νικηφόρου τοῦ Βοτα-
» νειάτου ἤρξαντό τινα τῶν τῆς Μονῆς προνομίων τε
καὶ μεγαλοπρεπῶν χαρίτων καὶ εὐεργεσιῶν ἀθετεῖσθαι'
ἅπερ ὡς ἐξ ἐράνου ἐκέκτητο ἡ Μονὴ παρὰ τῶν φι-
λοτιμοτάτων ἐκείνων καὶ ὄντως βασιλικωτάτων ψυ-
χῶν, ἵνα μὴ ἐκ τῆς ψυχρότητος ὁλοτελῶς ἀπο-
σβέσωσι, καταφεύγουσι καὶ πρὸς τὸν Βοτανειάτην οἱ
τῆς Νεαμονῆς νοεροὶ, καὶ κατακυροῦσι πρὸς ἀσφά-
λειαν ὡς καὶ πρώην τὰ προγεγονότα, ἅτινα δι' ἰδίου
χρυσοβούλλου λέγει ὁ Νικηφόρος· «ἰσχύειν καὶ τὸ ἐνδύ-
» ναμον ἀποφέρεσθαι, ὡς καὶ παρ' αὐτῆς τῆς Βασιλείας
» μου ἐκφωνηθέντα τε καὶ ὁρισθέντα (β) » Ἐπειδὴ δὲ πάλι
ἐδυσκολεύοντο καὶ τὸ τετυπωμένον λαμβάνειν σο-
λέμνιον (γ) διὰ τὸ βραδύνειν καὶ προφασίζεσθαι τοὺς
διδόντας, ἀντιμισθίας καὶ ὡρῶν ἕνεκα· διὰ ταῦτα, καὶ
διὰ τὸ ἐξαποστεῖλαι ἐξορίστους εἰς τὴν Νεαμονὴν τὸν
Βοτανειάτην κατ' ἄγνοιαν, ἀποστέλλει αὖθις καὶ ἕτερον
χρυσόβουλλον οὗτος τοῖς Νεαμονησίοις εἰς αὐτὸν ἀνα-
φερομένοις, ὅπως ἐγκαίρως τε καὶ ἀπαραβάτως καὶ τὰ
νενομισμένα λαμβάνωσι, καὶ εἰς τὴν Νεαμονὴν μηδεὶς
τῶν ἐξοριζομένων ἀποστέλληται τοῦ λοιποῦ. Οὕτω δ' ἐν
τούτῳ προσιμιάζεται. «Οἱ τῷ ἱερῷ φροντιστηρίῳ τῆς ἐν
» Χίῳ Νεαμονῆς ἐνασκούμενοι, ζῶντες μὲν καταμόνας
» Θεῷ, καὶ βίον ἡσύχιον καὶ ἀπράγμονα ἔχοντες, πόρρω
» δὲ κοσμικῶν θορύβων, καὶ τῆς ἐν βίῳ συγχύσεως δια-
» μένοντες, ὡς τὸ ἀπερίσπαστον καὶ ἀμέριμνον εὑρηκό-
» τες ἀπὸ τῶν προσόντων τῷ κατ' αὐτοὺς σεμνείῳ χρυ-

(α) Ὅρα Ϛ'. ἐν παλαιογράφοις. Γ. Φ.

(β) Ὅρα Ϛ'. ἐν παλαιογράφοις. Γ. Φ.

(γ) Σολέμνιον ἡ παρὰ Βασιλέως ἀναφαίρετος δωρεὰ διδο-
μένη ταῖς Ἐκκλησίαις.

» σεβούλλων διαφόρων, αὐτοῦ τε τοῦ ἀοιδίμου βασιλέως » τοῦ Μονομάχου, καὶ καθεξῆς . . .» Οὕτω δὲ προϊὼν ὁ λόγος διορθοῖ καὶ τὸ λάθος τοῦ ἐξαποστέλλειν ἐξορίστους εἰς τὴν Μονήν· καὶ τὸ περὶ τῶν ἐξορίστων ἀγνόημα διορθοῦται, λέγων, « ἀπὸ τῆς σήμερον, καὶ » καθεξῆς τοῦ λοιποῦ, ὁπηνίκα τῆς ὑπερορίας ἀνακληθείεν, οἱ ἐν τῇ Μονῇ ἐξόριστοι, ἐλευθεριάσει πάντων » ἡ Μονὴ τέλεον, καὶ ἀπὸ τῆς τῶν ἐξορίστων ἐπηρείας, » ὥσπερ δὴ καὶ πασῶν τῶν ἄλλων ἐπηρειῶν (α).»

Τοιούτοις χρησοβούλλοις ἐπεκύρωσαν τὰ τῆς Μονῆς καὶ οἱ μετὰ τὸν Βοτανειάτην, καὶ τοὺς Δούκας, καὶ οἱ Κομνηνοὶ, καὶ οἱ Παλαιολόγοι. Ἐν τούτοις εἰκάζομεν, ὅτι συνέβη καὶ ἡ περιαδομένη ἐρήμωσις τῆς Μονῆς ἐξ ἐπιδρομῆς ἐθνῶν καὶ λοιμικῆς νόσου ἴσως. Ἐπὶ γὰρ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἱστορεῖ ὁ Ζωναρᾶς, ὅτι Τσαχᾶς τις, Τοῦρκος τῷ γένει καὶ τῇ θρησκείᾳ, πολὺς τὴν πονηρίαν καὶ τὰ πολεμικὰ, ἀλλ' οὐκ ἐξ ἐπιφανῶν, κρύφα καταπλεύσας εἰς Χίον ὀλίγαις ναυσὶ, κατασκευάζει στόλον ἐνταῦθα, καὶ διὰ τούτου οὐ μόνον τὴν Χίον ὑποτάσσει, ἀλλὰ καὶ τὴν Μιτυλήνην, καὶ τὴν Σάμον, καὶ τὴν Ῥόδον, καὶ πολλὰς ἄλλας τῶν νήσων. Ἐν τίνι καταστάσει ἦν τότε ἡ Χίος καὶ ἡ Μονὴ σὺν αὐτῇ, ἢ ὁπότε ἐξεδιώχθη ὑπὸ τῶν Βυζαντινῶν ὁ Τσαχᾶς, καὶ περιῆλθεν εἰς αὐτοὺς πάλιν ἡ νῆσος, ἢ πῶς εἶχεν ἡ νῆσος ἐν ἑξήκοντα ἔτεσι, καθ' ἃ ἐβασίλευον ἐν Κωνσταντινουπόλει οἱ Σταυροφόροι, οὐκ εὔδηλα ταῦτα, οὐδ' ἔχομέν τι ἀκριβολογῆσαι περὶ αὐτῶν. Φαίνεται ὅμως, ὅτι πρὸ τῆς κυριαρχίας τῶν Γενουηνσίων συνέβη ἡ ἐν λόγῳ ἐρήμωσις τῆς Μονῆς· τούτων γὰρ τῆς νήσου κρατούντων ἀπίθανος ἦν ἐρήμωσις ἐξ ἐπιδρομῆς, ὡς ἰσχυόντων ἐν ταῖς θαλάσσαις, καὶ περιφρουρούντων τὴν νῆσον πύργοις καὶ φρουρίοις ὀχυροῖς πανταχοῦ τῆς νήσου, καὶ περισκοπούντων αὐτὴν κύκλῳ σκοπιαῖς παραλίοις, αἵτινες καὶ νῦν ἔτι σώζονται. Ἦρξαν δὲ οἱ Γενουήνσιοι τῆς Χίου κατὰ τὸ 1346, καὶ βλέπομεν, ὅτι ὁ Ἀμοιράλλης τοῦ κοινοῦ αὐτῶν, διὰ πολιορκίας ὑποτάξας τὴν Χίον, συνεφώνησε μετὰ τῶν κατοίκων πρὸς τοῖς ἄλλοις καὶ τὰς ἐν Χίῳ Μονὰς καὶ Ναοὺς τε καὶ κληρικοὺς, ἔχειν καὶ πρὸς τοὺς Γενουηνσίους, ὡς καὶ πρὸς τοὺς βασιλεῖς τῶν Βυζαντινῶν. Ἐπιβεβαιοῖ δὲ τὴν εἰρημένην ἐρήμωσιν τῆς Μονῆς καὶ ἡ ἀπώλεια τῶν παλαιῶν κειμηλίων αὐτῆς· οὐδὲν γὰρ τῶν ἐν τῷ Ναῷ βασιλικῶν ἀναθημάτων διασώζομεν ἤδη. Ἄδεται δὲ, ὅτι ἐν τῇ μνησθείσῃ ἐρημώσει Πυργοχωρίτης Μοναχὸς, παραλαβὼν τὴν παλαίφατον εἰκόνα τῆς Νεαμονήτιδος Θεοτόκου, διεφύλαξεν ἐν Πυργίῳ. Ἐκμετρήσαντος δὲ τούτου τὸ ζῆν, ἀπόχηρός τις κοσμόπαπας, συνεγχώριος καὶ συγγενὴς τοῦ ἀποβιώσαντος, ἐπανέφερε τὴν ἁγίαν εἰκόνα εἰς τὴν Νεαμονὴν, μονάσας ἐν αὐτῇ, καὶ διαβιώσας μετὰ τῶν δύο αὐτοῦ υἱῶν. Ἡγενεὰ οὖν αὕτη διασώσασα τὴν νοητὴν ἡμῶν κιβωτὸν, ὡς οἱ περὶ τὸν Νῶε τὴν αἰσθητὴν, εὐαγγελίσατο ὡς ἡ περιστερὰ τὴν κατάπαυσιν τοῦ κατακλυσμοῦ, συναγαγοῦσα περὶ αὐτὴν νέον χορὸν Μοναζόντων. Καὶ αὕτω μὲν ἡ Μονὴ ἔλαβε σύστασιν νέαν, ἀλλ' ἀπώλεσε τὴν μοναστικὴν ἀκριβολογίαν μετὰ τῆς ἀρχαίας συστάσεως, καὶ κτιτορικῆς διατάξεως· ἐπειδὴ ἀνῳκίσθη ὑπ' ἀνδρῶν ἐντεθραμμένων ἐν τοῖς τοῦ Κόσμου. Ἀλλὰ καὶ καθ' ὅσον ἐχώρουν ἐπὶ τὰ χείρω τὰ πράγματα τῆς Βυζαντινῆς αὐτοκρατορίας, κατὰ τοσοῦτον καὶ τὰ τῆς Ἐκκλησίας. Καὶ ἐν ὅσῳ μὲν ἐκράτουν τῆς Χίου οἱ Γενουήνσιοι εἶχόν τινα ἐλευθερίαν οἱ Μονασταὶ, καὶ διαγωγὴν πρὸς τὸ τέλειον. Ἀλλὰ καὶ τῆς Χίου κλινάσης αὐχένα δούλιον τοῖς Ὀθωμανοῖς τῷ 1566, τῇ 17 Ἀπριλίου, τὴν δ'. τῆς Διακαινισίμου (α),

(α) Ὅρα τὸ Ζ'. ἐν τοῖς παλαιογράφοις.

(α) Σημείωσις περὶ Χίου ὡς εὑρηται ἐν ἱστορικῷ χειρογράφῳ. Κατέσχον τὴν Χίον οἱ Γενουήνσιοι 220 ἔτη, ἀπὸ τοῦ 1346. μέχρι τοῦ 1566, τῇ 16 ἀπριλίου, τῇ δ'. τῆς διακαινησίμου· τότε γὰρ ἦλθεν εἰς τὴν Χίον ὁ Πιαλῆ πασᾶς μετὰ στόλου ὀγδοήκοντα

Ἐστερήθη τῶν σιτηρεσίων καὶ ἑτέρων ἑαυτῆς προνομίων καὶ ἡ Νεαμονή, ἀπώλεσε τὰ ἐν ἀλλοδαπῇ ἑαυτῆς κτήματα, τοὺς παροίκους ἑαυτῆς καὶ ἄλλα παντοῖα.

Ἐξ ἀνάγκης οὖν ἐδόθησαν εἰς τὴν γεωργίαν, ζῶντες ἰδίοις πόνοις τε καὶ ἱδρῶσι, μεταβαλόντες τὰ ὄρη εἰς ἀγροὺς καὶ ἀμπελῶνας καταφύτους ἐκ δένδρων καρπίμων. Ἐκ τούτων δὲ οὐ μόνον ζῶσιν ἀφθόνως, ἀποτίνοντες καὶ τὰ βασιλικὰ τέλη, ἀλλὰ καὶ πολλὰ δι' ἀγορῶν προστιθέασι κτήματα τῇ Μονῇ, ὡς εὔδηλον ἐκ τῶν ἐν τῷ τέλει παλαιογράφων. Ναὶ μὲν ἐξέπεσον τῆς κοινοβίου πολιτείας καὶ κατέλιπον τὸ κοινῶς σιτεῖσθαι καὶ ἐνδύεσθαι, ἀλλ' οὐδένα τῶν κοσμικῶν ἀδελφῶν ζημιοῦσι διὰ ζητείας, ἢ ἐν τῇ Χίῳ, ἢ ἐν τῇ ἀλλοδαπῇ, ζῶντες, ὡς εἴρηται, ἐξ ἰδίων, καὶ μόνον τὴν λεγομένην διακονίαν ἔχοντες ἀπὸ τοῦ κοινοῦ, μὴ ἐπαρκοῦσαν εἰς τὰς ἀνάγκας αὐτῶν. Ἔστι δ' αὕτη δεκαὲξ ἄρτοι καθ' ἑβδομάδα, τῶν πεντήκοντα δραμίων ἕκαστος, κουμούλια λεγόμενοι, ὀλίγος τυρὸς καὶ ἄλλα τινὰ ὀλιγάκις τοῦ ἔτους, ἢ ἅπαξ διδόμενα. (α) Τὰ

πλοίων, καὶ προσκαλεσάμενος τοὺς ἄρχοντας τοῦ φρουρίου δι' ὀλίγων εἰς τὴν ἑαυτοῦ ναυαρχίδα, καὶ διαλεγόμενος αὐτοῖς περὶ κεφαλιτιῶνος, μεταβάλλει αἴφνης τὴν πραότητα εἰς ὀργήν, καὶ δεσμεύει αὐτοὺς ἐν ἁλύσεσι, καὶ συγχρόνως ἀποστέλλει εἰς τὸ φρούριον στρατιώτας, ἀγνοούντων τὰ ἐν τῇ ναυαρχίδι τῶν ἔξωθεν, καὶ καταλαμβάνει τὸ παλάτιον, καὶ σύμπαν τὸ φρούριον. Κρατήσας δὲ τοὺς δεσμίους ἡμέρας πεντήκοντα, ἀποστέλλει ἔπειτα σὺν γυναιξὶ καὶ τέκνοις εἰς τὴν Κωνσταντινούπολιν, μετὰ τὸ λαβεῖν καὶ τὴν κεφαλιτιῶνα ἰδίως, εἰς χρυσᾶ χιλιάδων τριάκοντα. Ἥρπασε δὲ καὶ δι' ἑαυτὸν ἐξ ἐκείνων καὶ χρηματικὸν πλεῖστον, καὶ περιβόλια, καὶ οἰκίας πρὸς ἐλευθέρωσιν, ἀλλ' ἐξαπατήσας οὐκ ἠλευθέρωσεν. Ἐκτὸς δὲ τούτων καὶ εἰκοσιτέσσαρας παῖδας ἐκ τούτων ἄρρενας ἰδιοποιησάμενος, ἀπέστειλε δῶρον τῷ τότε Σουλτάνῳ Σελίμῃ.

(α) Ἔπαυσαν μετὰ τὴν καταστροφὴν τῆς Χίου τὸ 1822 ἅπαντα τὰ διακονήματα, ἀπὸ δὲ τοῦ 1832 διακονεῖται μόνος ὁ

γοῦν παλαιὰ τῶν κελλίων μετεσκευάσθησαν ἐπὶ τὸ ἰδιόρρυθμον, καὶ ἕκαστος ἔπηξε κατὰ τὸ δοκοῦν τὴν ἑαυτοῦ φωλεὰν κατ' οἰκείαν, δύναμιν, ἢ καὶ ὄρεξιν, καὶ οὐδὲν τῶν ἀρχαίων οἰκοδομημάτων ἐμμένει, εἰμὴ ὁ θεῖος Ναός, ἡ Τράπεζα, ἡ Δεξαμενὴ, καὶ ὁ Πύργος· καὶ οὗτος μέν ἐστι φρουρίου εἶδος, σωτηρίας καταφυγὴ ἐν ἐπιδρομαῖς, ὡς προείρηται (φυλ. 45 καὶ 54)· ἡ δὲ Δεξαμενὴ ἐπὶ ὀκτὼ μαρμαρίνων στηλῶν ἐστεγασμένη πρὸς τὸ ὑδρεύεσθαι, δαπάναις ἀδήλοις ᾠκοδόμηται· ἡ δὲ Τράπεζα φανερὸν ἔχει μὲν τὸν σκοπὸν τῆς οἰκοδομῆς· ἀλλὰ σήμερον ἀργεῖ ὅλως· περὶ δὲ τοῦ θείου Ναοῦ ἱκανὰ ἐλαλήσαμεν. Ἡ νῆσος Χίος καὶ δι' ἄλλας αἰτίας καὶ διὰ τὸ σχῆμα τοῦ Χ ἀπέκτησε τοὔνομα. (α) Καὶ τὸ μὲν μέσον τοῦ Χ κατέχει ἡ Νεαμονὴ, τῆς ἀπ' Ἀνατολῶν καὶ Δυσμῶν θαλάσσης ἐξίσου ἀπέχουσα. Κεῖται δὲ οὐχὶ ἐπὶ τόπου τερπνοῦ, ἀλλὰ βαθέος καὶ περικλείστου ὑπὸ ὀρέων, πλὴν τοῦ πρὸς Ἀνατολὰς μέρους, ὁπόθεν θεωρεῖ θάλασσαν, καὶ τὰ περὶ τὴν Κρήνην ἀπέναντι. Ὅθεν καὶ ἡ θέσις ἐστὶ ψυχρὰ μὲν τὸν χειμῶνα, θερμὴ δὲ τὸ θέρος· κοσμοῦσιν ὅμως αὐτὴν κύκλῳ πιτυόδενδρα, κοινῶς καλούμενα πεῦκοι, διασκεδάζοντα καὶ τοὺς καύσονας καὶ τὰ ψύχη, ἔμπλεα καλλονῆς εἰς τὸν ὀφθαλμὸν, καὶ οἰκονομίας περὶ τὴν ξύλευσιν.

ἄρτος, ὡς προελέχθη, ἀλλ' ἀπαρχῆς ἦν καὶ ἔστιν εὐτελὴς, ὡς κακῶς ἐξεργαζόμενος πάντοτε. Πόθεν δὲ τὸ κουμούλιον; Εἰ βούλει ἐξέτασον οὐ μόνον περὶ ταύτης τῆς λέξεως, ἀλλὰ καὶ περὶ τῆς Βουρδουνάρης, ὁ ἐπὶ τῶν τῆς Μονῆς ἡμιόνων· περὶ τῆς Ὀριάρης, ὁ ἐπὶ τῶν σίτων καὶ ἀλεύρων· περὶ τῆς Δοχειάρης, ὁ ἐπὶ τῶν οἴνων· περὶ τῆς Κασσετάρης, ὁ ἐπὶ τῶν τροφίμων· περὶ τῆς Κελλάρης, ὁ ἐπὶ τοῦ φούρνου καὶ τῶν ψωμίων. Γ Φ.

(α) Ὅρα Χιακῶν φύλ. ά. καὶ Ἀτάκτων τομ. γ'. Γ. Φ.

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΥΣ ΟΣΙΟΥΣ ΚΑΙ ΘΕΟΦΟΡΟΥΣ

ΠΑΤΕΡΑΣ ΗΜΩΝ

ΝΙΚΗΤΑΝ ΙΩΑΝΝΗΝ καὶ ΙΩΣΗΦ.

Τροπάριον ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τοῖς Θεοφόροις καὶ σεπτοῖς νῦν προσφύγωμεν, θείοις πατράσι καὶ ἡμῶν ἀντιλήπτορσιν, ἐν κατανύξει κράζοντες ἐξ ὅλης ψυχῆς, Ἅγιοι προφθάσατε, ἐφ' ἡμῖν σπλαγχνισθέντες, καὶ δεινῶν λυτρώσασθε, τοὺς ὑμᾶς ἀνυμνοῦντας, ὡς παῤῥησίαν κεκτημένοι πρὸς Θεόν, ὃν ὐσωπεῖτε εὑρεῖν ἡμᾶς ἔλεος.

Καὶ νῦν Θεοτοκίον, Τῇ Θεοτόκῳ ἐκτενῶς.

Ὠδὴ ἀ. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Τὸν Χριστὸν ποθοῦντες εἰλικρινῶς, Ὅσιοι Πατέρες, ἀπηρνήθητε ἑαυτοὺς, καὶ τοῖς τῆς ἀσκήσεως ἀγῶσι, τούτῳ προθύμως ἐλατρεύσατε.

Ὡς Κόσμου ἐάσαντες τὰ τερπνὰ, Ὅσιοι Κυρίου, Ἰωάννῃ σὺν Ἰωσὴφ, καὶ Νικήτᾳ, νίκης ἐπωνύμῳ, χαμὲ τῆς τούτων ἀπάτης λυτρώσασθε.

Ἱκέτης προσέρχομαι τῇ ὑμῶν, θερμῇ προστασίᾳ, ὦ Ὁσίων ἡ καλλονὴ, Ἰωσὴφ, Νικῆτα, Ἰωάννη, καὶ μὴ κενόν με τὸν ἄθλιον πέμψητε.

Θεοτοκίον.

Ἴασαι νοσοῦντά με χαλεπῶς, τῆς θανατηφόρου, ἀσθενείας τῶν σαρκικῶν, ἁγνὴ ψυχικῶν τε παθημάτων, ὅπως ἐν πίστει ἀεὶ μακαρίζω σε.

Ὠδὴ γ'. Οὐρανίας ἀφίδος.

Οὐρανίας τυχόντες, πανευκλεεῖς Ὅσιοι, δόξης καὶ ἀῤῥάστου ἀξίως Μακαριότητος, τῆς αἰωνίας ποινῆς, καὶ ἀφορήτου αἰσχύνης, ῥύσασθέ με δέομαι, Χριστῷ πρεσβεύοντες.

Ἀμερίμνως διάγω, καὶ ἀμελῶς Ἅγιοι, καὶ τῆς φοβερᾶς καὶ δικαίας Χριστοῦ ἑτάσεως, ἐπιλανθάνομαι, ἧς μοι τὴν μέριμναν δότε, ὅπως διορθώσω μοι τὰ πεπραγμένα αἰσχρῶς.

Κοσμικῇ προσπαθείᾳ, καὶ ἡδοναῖς ἕλκομαι, καὶ ταῖς πονηραῖς συμβουλίαις τοῦ πολεμήτορος, ὅλως ὑπείκω, ἀεὶ, καὶ τοῦ ὑμῶν θείου βίου, ἴχνος οὐκ ἐζήλωσα, οἴμοι τῷ τάλανι.

Θεοτοκίον.

Νοῦν καὶ φρένα καὶ λόγον, δῶρον Θεοῦ εἴληφα, ὅπως ἐπιγνοὺς τὸν Δεσπότην ἔργοις τιμήσω καλοῖς, ἐγὼ δὲ πάθεσι τὴν δωρεὰν ἀτιμάσας, τὸν δοτῆρα ὕβρισα Δέσποινα σῶσόν με.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἀνδρικῶς ἐνστησάμενον, κατὰ τῶν παθῶν Νικῆτα φερώνυμε, ἐκτενῶς καθικετεύωσε, τῆς ψυχῆς τὰ πάθη ταπεινῶσαί μου.

Ἰωάννη Μακάριε, χάριτος ἐπώνυμε, σύ μοι δώρησαι, τὴν σὴν χάριν τὴν οὐράνιον, τοῦ ἰχνηλατῆσαι τὰ σὰ βήματα.

Σωφροσύνης ὑπόδειγμα, Ἰωσὴφ παμμάκαρ, σὺ ἐ-

χρημάτισας, δι' ὃ σώφρονά με ποίησον, τῆς σαρκὸς τὰ πάθη καταστέλλων μου.

Θεοτοκίον.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων, θεονύμφευτε.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Δεῖξόν με, Σωτὴρ, πληρωτὴν τῶν προσταγμάτων σου, τῶν Ὁσίων σου ταῖς θείαις λιταῖς, οὓς νῦν προβάλλομαι πρέσβεις, τῇ εὐσπλαγχνίᾳ σου.

Τρίβον τὴν στενὴν, καὶ τεθλιμμένην ὡδεύσατε, δι' ὧμε ἰθύνατε εὐχαῖς ὑμῶν, πρὸς σωτηρίους τρίβους, Χριστοῦ, πανεύφημοι.

Δάκρυσι θερμοῖς, τὴν ἐμὴν ψυχὴν ἁγνίσασθαι, τὴν μολυνθεῖσαν ἁμαρτίαις πολλαῖς, ἀξιωθῆναί με, θεῖοι, Χριστῷ πρεσβεύσατε.

Θεοτοκίον.

Λύτρωσαι ἡμᾶς ἐκ κινδύνων, Θεοτόκε ἁγνὴ, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Προστάτας μου τῆς ζωῆς ὡς εὕροιμι, Θεφόροι καὶ σεπτοί μου Πατέρες, τῶν λυπηρῶν διαλύοντες νέφος, καὶ συμφορῶν τὰς ἐφόδους ἐλαύνοντας, γαλήνην δὲ τὴν ψυχικὴν, δωρουμένους μοι ὅπως γεραίρω ὑμᾶς.

Ἀπαύστως ὑπὲρ ἐμοῦ πρεσβεύετε, Θεοφόροι καὶ προστάται μου θεῖοι, πρὸς τὸν Κριτὴν καὶ Θεόν μου καὶ πλάστην, τοῦ με οἰκτείρειν ἀεὶ τὸν πανάθλιον, ἐν ὥρᾳ ὄντως φοβερᾷ, τῆς δευτέρας αὐτοῦ ἐπελεύσεως.

Σκοτούμενον ἁμαρτίας ζόφῳ με, διαυγάσατε λιτάζω Ὁσίων, τριὰς σεπτὴ, τῆς Τριάδος τῇ αἴγλῃ τῆς ὑπερφώτου, ᾗ συμπαρίστασθε, δικαίων δήμοις καὶ χοροῖς τῶν οὐρανίων Νόων πανεύφημοι.

Θεοτοκίον.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν, ἐν ταῖς θλίψεσι κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα, ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Κοντάκιον ἦχος δ'.

Προστασία τῶν Χριστιανῶν.

Προστασίαν τὴν ὑμῶν ἐξαιτούμενοι, τὴν ἱκεσίαν ταύτην προσάγομεν, μὴ δὴ παρίδητε ἡμῶν δέησιν πενιχρὰν, ἀλλὰ προφθάσατε ὡς ἀγαθοὶ εἰς τὴν βοήθειαν ἡμῶν τῶν θερμῶς κραυγαζόντων ὑμῖν. Ὅσιοι τοῦ Κυρίου, ῥύσασθε ἡμᾶς πάντων, τῶν ἐν βίῳ ἀλγεινῶν καὶ δεινῶν.

Ὠδὴ, ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐπιλάμψεσι θείαις, τὴν ἐμὴν ἐλλαμφθῆναι ἐκδυσωπεῖτε ψυχὴν, τὸν ζόφον τῆς κακίας, αὐτῆς ἀποσοβοῦντες, ἵνα ψάλλω σωζόμενος, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σχῆμα τῆς μετανοίας, ἐνεδύθην ὁ τάλας, ἀλλὰ τοὺς ταύτης καρποὺς, οὐκ ἤνεγκα Σωτήρ μου, δι' ὃ μή με ἐκκόψῃς, ὡς τὸ δένδρον τὸ ἄκαρπον, ἀλλ' οἰκτειρήσαις Χριστὲ, λιταῖς τῶν σῶν Ὁσίων.

Θελητὴς ὢν ἐλέους, Κύριε μακρόθυμε, καὶ οἰκτιρμῶν ἡ πηγὴ, τοῖς ῥείθροις τῶν δακρύων, ἀπόπλυνον τὸν ῥύπον, τῆς ψυχῆς μου κραυγάζοντος, ὁ τῶν Ὁσίων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Θησαυρὸν Σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πῦργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, ἡ. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Σάρκα τῷ λόγῳ καθυποτάξαι ἐμφρόνως, καὶ διάγειν σώφρων, ὦ Πατέρες, ἐνισχύσατέ με θείαις ὑμῶν πρεσβείαις.

Ἐν τῷ σπηλαίῳ ὡς ἐν θεάτρῳ Πατέρες, ἠγωνίσθητε στερρῶς Θεοφόροι, κατὰ πολεμίων ἀσάρκων ἀοράτων.

Ὦ Ἰωάννη σὺν Ἰωσὴφ καὶ Νικήτᾳ, τὸν Θεὸν ἐκδυσωπεῖτε ἀπαύστως, τὰ κατ' ἐμοῦ συντρίψαι τῶν πολεμούντων βέλη.

Θεοτοκίον.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας, τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Νικῆτα νίκης κράτος, Ἰωάννη χάριν, καὶ Ἰωσὴφ σωφροσύνην δωρήσασθε, κατὰ παθῶν τῶν ἀπαύστως παρενοχλούντων μοι.

Νικῆτα, Ἰωάννη, Ἰωσὴφ τρισμάκαρ, ὑπὲρ ἐμοῦ ἱκεσίαν ποιήσατε, σὺν τῇ ἀχράντῳ παρθένῳ πρὸς τὸν τῶν ὅλων Θεόν.

Τὴν πενιχράν μου ταύτην, δέησιν Πατέρες, ἐξ ἀκαθάρτου νοός τε καὶ στόματος, προσαγομένην ὑμῖν ἀποδέξασθε.

Θεοτοκίον.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τοῦ παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Μεγαλυνάριον.

Πράξεων ἐνθέων ταῖς φαιναῖς, αἴγλαις, Θεοφόροι, ἀπαστράψαντες θαυμαστῶς, πρὸς ὁδοὺς εὐθείας, τῶν θείων θελημάτων, τῶν μοναστῶν τὰ πλήθη καθοδηγήσατε.

Ὅστε Νικῆτα σὺν Ἰωσὴφ, καὶ τῷ Ἰωάννῃ, Θεοφόροι ὡς ἀληθῶς, τῆς Τριάδος λάτραι, τῆς τριλαμποῦς καὶ θείας, εὐχαῖς ὑμῶν ἁγίαις, ἡμᾶς φωτίσατε.

Ὡς ἡμῶν προστάτας καὶ πρὸς Θεὸν, πρέσβεις θερμοτάτους, εὐφημοῦμεν ὑμᾶς σεπτοὶ, Πάτερ Ἰωάννη, σὺν τῷ κλεινῷ Νικήτᾳ, καὶ Ἰωσὴφ τῷ θείῳ σὲ μεγαλύνωμεν.

Τοὺς ἐκ πόθου πάντας τῇ ἱερᾷ, ὑμῶν ἀντιλήψει, καταφεύγοντας ἐκ παθῶν, λυτροῦσθε παντοίων Πατέρες Θεοφόροι, ψυχῶν τε καὶ σωμάτων Χριστῷ πρεσβεύοντες.

ΒΙΒΛΙΟΝ Β'.

ΣΥΝΤΕΘΕΝ ΥΠΟ ΤΟΥ ΚΑΘΗΓΟΥΜΕΝΟΥ

ΓΡΗΓΟΡΙΟΥ ΦΩΤΕΙΝΟΥ.

Προσθήκη εἰς τὴν Νεαμονικὴν ἱστορίαν κατ' ἐπανάληψιν.

1. Προϋπέδειξεν ὁ ἱερὸς Νικηφόρος, ὅτι Κωνσταντῖνος ὁ Μονομάχος καὶ αἱ δεσποινίδες Ζωὴ καὶ ἡ Θεοδώρα ἐπροίκισαν τὴν Νεαμονὴν δι' ἀφθόνων δωρεῶν καὶ κτημάτων καὶ ἐν αὐτῇ τῇ Χίῳ καὶ ἐν τῇ ἀλλοδαπῇ, ἐξ ὧν ἀναφέρει τεσσαράκοντα τρία μόνον κηπάρια, ἅπερ οὐδόλως ἀπίθανον, ὅτι ἀντιστοιχοῦσιν εἰς τὰ ἤδη καλούμενα περιβόλια· ἐπειδὴ καὶ ἡ λέξις κῆπος ἔχει ἐννοούμενον καὶ τὴν ὕπαρξιν ὕδατος εἴτε κρηναίου εἴτε φρεατίου.

2. Σφάλμα λογίζεται σήμερον ὁπωσδήποτε ἡ ἀμέλεια τοῦ ἱεροῦ Νικηφόρου, τὸ μὴ συνεκδοῦναι καὶ τὰ χρυσόβουλλα, δι' ὧν πολὺ φῶς ἐπεχύνετο εἰς τὴν Νεαμονικὴν ἱστορίαν· καὶ προπάντων τὰ δωρητήρια.

3. Ἀναφέρονται δὲ δωρηθέντες εἰς τὴν Νεαμονὴν καὶ τεσσαράκοντα ὀκτὼ δουλοπάροικοι, ὡς οἱ ἐν Δακίᾳ οἰκογενιακῶς καὶ ἀναποσπάστως δουλεύοντες εἰς τὴν Μονήν· ὧν οἱ μὲν εἰκοσιτέσσαρες ἐν Χίῳ ἐδούλευον, οἱ δὲ ἐπίλοιποι εἰκοσιτέσσαρες εἰς τὸ θέμα τῶν Θρακησίων· ὅπου ἐξηγόρασαν εἰ Νεαμονήσιοι τὸ τῶν Κατακαλῶν μέγα καὶ προσοδοφόρον κτῆμα τὰ Καλοθήκια.

4. Εἰς τὰ λόγου ἄξια κτήματα τῆς Νεαμονῆς κατετάσσετο καὶ τὸ ἐν τῇ καταντικρὺ Χίου χερσονήσῳ μετόχιον, διὰ τὸν ἐν αὐτῷ ἱερὸν ναὸν Ἅγιος Εὐστράτιος ἐπονομαζόμενον.

5. Εἶχε δὲ ἡ Νεαμονὴ καὶ ἐν τῇ πόλει τῆς Χίου μετόχιον ἀξιόλογον Ἅγιος Εὐστράτιος καλούμενον (72) ἀφιερωθὲν εἰς αὐτὴν τὸ χίλια τετρακόσια δύο ὑπό τινος Ξένης Μιχελίνας, χήρας Καλογιάννη Κριτῆ Χρυσολουρᾶ, οὗ σώζομεν ἔτι τὴν ἔγγραφον ἀφιέρωσιν κατασεσημειῶσθαι, καὶ δυσανάγνωστον.

6. Ἀλλὰ τὸ μετόχιον τοῦτο ἀπώλετο μετὰ τὴν τῆς Χίου καταστροφὴν τοῦ 1822, σχηματίζον ἤδη καὶ αὐτὸ μετ' ἄλλων τὴν ἀπέναντι τοῦ φρουρίου πλατεῖαν Βουνάκιον ἀνακολούθως λεγομένην, ὥσπερ καὶ τὴν μακρὰν καὶ στενὴν ὁδὸν Ἁπλοταρέαν, καὶ τὴν ὁμαλὴν Ἐγχρημνὸν λέγουσι.

7. Πότε ἀπέβαλε τοὺς ἑαυτῆς δουλοπαροίκους ἡ Μονή; πότε τὰ εἰρημένα καὶ ἄλλα μετόχια; Ταῦτά εἰσιν ἄδηλα· ἴσως εἴχομεν τι περὶ τούτων εἰκάσαι, ἐὰν ἐσώζοντο τὰ ὑστερογενῆ χρυσόβουλλα καὶ τὰ μετὰ τὴν ἅλωσιν τοῦ Βυζαντίου πατριαρχικὰ ὑπομνήματα.

8. Καὶ τὰ μὲν σιτηρέσια τὰ ἐκ τῆς ἐν Κωνσταντινουπόλει Μονῆς τῶν Μαγγάνων, μετ' αὐτῆς ἠφανίσθησαν ἐν τῇ ἁλώσει· ἀλλ' ἴσως καὶ πρότερον διὰ τὴν ἀθλίαν τοῦ Βυζαντίου κατάστασιν, πιθανῶς δὲ καὶ κατὰ τὴν μεσοβασιλείαν τῶν Σταυροφόρων ἀνεστάλησαν· καὶ ἢ ἐπανελήφθησαν, ἐπαναληφθείσης τῆς Βυζαντινῆς αὐτοκρατορίας, ἢ ἀπεκόπησαν ἔκτοτε.

9. Πότε καὶ οἱ ἐν Χίῳ Ἰουδαῖοι ἔπαυσαν τελοῦντες φόρον εἰς τὴν Νεαμονήν· Πρὶν ἢ παύση ἐν Χίῳ ἡ τῶν Βυζαντινῶν ἀρχὴ, ἢ ἐπὶ τῆς τῶν Γενουηνσίων ἀρχῆς, καὶ τοῦτο ἄδηλον ὅλως.

10. Καὶ τὸ περιαδόμενον, ὅτι ἦν τῶν προσόδων τῆς Νεαμονῆς τὰ ἐν Χίῳ τελώνια, φαίνεται, ὅτι οὐκ ἦσαν τὰ τελώνια, ἀλλὰ τὰ τελωνεῖα, οὐχὶ δηλονότι τὰ τελω-

νιακὰ τέλη, ἀλλὰ τὰ καταστήματα· πότε δὲ καὶ ταῦτα ὡς καὶ τ' ἄλλα ἀπώλεσεν ἄδηλον.

11. Τοιοῦτον καὶ τὸ μέχρι σήμερον διακωδωνιζόμενον, ὅτι κέκτητοι ἡ Μονὴ τὸ τρίτον τῆς νήσου· ἐκέκτητο ἴσως πολλὰ ἡ Νεαμονὴ ἐν τῇ Χίῳ· ἀλλ' ἀπώλεσε τὰ πλεῖστα ἐν ταῖς πολιτικαῖς περιπετείαις τῆς νήσου, καὶ νῦν μηδὲ τὸ χιλιοστημόριον ἴσως κέκτηται τῶν ταύτης γεωργημένων.

12. Φαίνεται δὲ, ὅτι καὶ ἐν διακοσίοις εἴκοσιν ἔτεσιν, ὁπότε ἦρχον τῆς Χίου οἱ Γενουήνσιοι, ἀπὸ τῶν 1346, μέχρι τῶν 1566, ἀνεπηρέαστος καὶ ἀτελὴς διετέλει καὶ ἡ Νεαμονὴ κατὰ τὰς συμφωνίας τῶν Χίων μετὰ τοῦ κοινοῦ τῶν Γενουηνσίων· καθότι τὸ χειρόγραφον, ὅπερ σώζομεν ἔτι, ἀναφέρει πρὸς τοῖς ἄλλοις καὶ ταῦτα·

«Εἶτα πάλιν πάντες οἱ εὐγενικοὶ τῆς πόλεως (Χίου) » καὶ τοῦ κάστρου, οἱ ἔχοντες χάριτας ἢ εὐεργεσίας, ἢ » γράμματα ἀπὸ τῶν Βασιλέων τῶν Ῥωμαίων, ἅτινα » φαίνονται ὁρισμοὶ μετὰ χρυσοβούλλων, ἢ μετὰ κοκ» κοκαίνων γραμμάτων, τὰ ἐπονομαζόμενα προστάγ» ματα· τὰς ῥηθείσας χάριτας καὶ εὐεργεσίας, νὰ ἔχω» σιν αὐτὰς σώας, καὶ γνωρίζωσιν αὐτὰς ὁμολογουμέ» νως παρὰ τοῦ κομουνίου τῆς Γένουβας· καὶ διὰ τῶν » τοιούτων εὐεργεσιῶν, νὰ ἦναι ὑποσχόμενοι εἰς τὸ κο» μούνιον τῆς Γένουβας, ὡς ἦσαν εἰς τὸν Βασιλέα . . . » ἔχοντες αὐτοὶ τὰς ἐκκλησίας καὶ τὰ μοναστήρια αὐ» τῶν, καὶ τὸν ἅπαντα κλῆρον αὐτῶν, ζῶντες καὶ πολι» τευόμενοι κατὰ τὴν συνήθη πολιτείαν αὐτῶν, καὶ κατὰ » τὴν πίστιν αὐτῶν, μετὰ πάντων τῶν εἰσοδημάτων αὐ» τῶν, καὶ τῶν ἐκκλησιῶν τῶν ἐν τῇ νήσῳ Χίῳ. . . . »

13. Καὶ πρὸ τῆς κατοχῆς τῶν Γενουηνσίων ἴσως ἔζων οἱ Νεαμονήσιοι ἰδιόρρυθμον πολιτείαν, ἐγκαταλιπόντες τὸν κοινὸν βίον, ἐξ οὗ ἐγκατέλιπον αὐτοὺς τὰ σιτηρέσια, καὶ οἱ δουλοπάροικοι.

14. Ὅτι δὲ ἐν τῇ κατοχῇ τῶν Γενουηνσίων διετέλουν ἀτελεῖς οἱ Νεαμονήσιοι καὶ ἀφορολόγητοι δῆλον καὶ ἐκ πολ-

